974[a] 3 sq. Lipsiensis haec habet: *εἴτε γὰρ ἅπαντα γέγονεν εἴτε μὴ πάντα ἀΐδια ἀμφοτέρως· ἐξ οὐδενὸς γὰρ γενέσθαι ἂν αὐτῶν γινόμενα.* Ceteri pro *ἀΐδια ἀμφοτέρως* habent *δι' ἀμφοτέρων*, reliqua sic exarata praebent: *ἐξ οὐδενὸς γὰρ αὐτῶν ἂν γινόμενα*, omisso *γενέσθαι.* In Mullachii editione locus ita constitutus proponitur: *εἴτε γὰρ ἅπαντα γέγονεν εἴτε μὴ πάντα, δεῖν ἀμφοτέρως ἐξ οὐδενὸς γενέσθαι ἂν αὐτῶν γιγνόμενα.* Haec cur improbanda videantur bene exposuit Bonitz Aristot. Stud. I p. 65. Quae vero ipse ibi tentavit, cum scriberet *εἴτε — ἀδύνατον ἀμφοτέρως* ea nescio an ferri non possint, si quidem non recte dicitur: 'si quid ortum est, non potest ortum esse'; dicendum potius fuit *ἀδύνατα ἂν συμβαίνειν* vel tale quid. Sed hoc a litteris traditis nimium recedit. Itaque rectius fortasse hoc conicias: *εἴτε — πάντα, ἀδιάφορον.* Utrum omnia genita sint, an non omnia, nihil discriminis intercedit; nam sive hoc sive illud statuis, sequitur ut ex nihilo genita sint, quae sunt. cf. Aeschyl. Agam. 1403 *σὺ δ' αἰνεῖν εἴτε με ψέγειν θέλεις ὅμοιον* et Arist. Anal. post. 97[b] 21 *ὁ μεγαλόψυχος ἀδιάφορος εὐτυχῶν καὶ ἀτυχῶν.* Sed puto ferri posse quae Lps. praebet, quamquam non optime dicta esse facile Bonitzio concedes.

Quae sequuntur aperte corrupta sunt. Sententia ipsa suadere videtur, ut hoc scribamus: *ἐξ οὐδενὸς γὰρ γενέσθαι ἂν αὐτὰ ἀνάγκην εἶναι*, quae non nimis recedere a litteris traditis concedes, si accuratius codicum varias lectiones comparaveris. Nolo tamen in re incerta quidquam pro certo affirmare.

974^a 11 sq. *εἰ γὰρ πλέον ἢ δύο εἴη, πέρατ' ἂν εἶναι ταῦτα πρὸς ἄλληλα.* Sic Bekker. Aldina *περατὰ εἶναι*, posteriores *πέρατα εἶναι.* At neque in codicibus inveniuntur neque per se apta sunt haec verba. In Lps. haec scripta extant: *περ. λῖαν εἶναι*, in R^a *πέραιαν εἶναι*, in B^a *περαιὰν εἶναι*, in V^a *περ ἐὰν εἶναι.* Quae si diligenter cum eo comparaveris, quod ipsa sententia postulat, nihil aliud in iis latere tibi persuadebis quam *περαίνειν ἄν.* Nam non recte dicitur duo illa infinita esse ipsa *πέρατα*, sed potius habere *πέρατα πρὸς ἄλληλα*, ut est apud ipsum Melissum frgm. § 3 Mull.: *εἰ γὰρ δύο εἴη, οὐκ ἂν δύναιτο ἄπειρα εἶναι, ἀλλ' ἔχοι ἂν πέρατα πρὸς ἄλληλα.* Pro *πέρατα ἔχειν πρὸς ἄλληλα* autem recte dicitur *περαίνειν πρὸς ἄλληλα*, idque nostro usitatum est cf. 977^b 6 *περαίνειν δὲ πρὸς ἄλληλα, εἰ πλείω εἶεν.* Librariorum autem error inde ortus, quod primum syllaba *ειν* a *περαιν* diremta et cum *ἂν* coniuncta est, ut ex *ειναν* fieret *εἶναι*; inde cetera.

975^b 33 *ἔτι τί κωλύει ποτὲ μὲν ἐξ ἄλλων τὰ σώματα γίγνεσθαι καὶ διαλύεσθαι εἰς σώματα, οὕτω δὴ* (l. *δ' ἢ*) *ἀναλυόμενα καὶ ἴσα γίγνεσθαί τε καὶ ἀπόλλυσθαι πάλιν.* In Fleckeis. annal. l. l. p. 749 totius loci sententiam recte mihi exposuisse ad eamque verba constituisse videor, nisi quod pro *καὶ ἴσα*, quod Lps. praebet, nunc malim cum Kernio scribere *κατ' ἴσα* quam quod ibi proposui *εἰς ἄ.* Nam *κατ' ἴσα*, quod a sermone peripatetico mihi alienum esse videbatur, nunc ab Eudemiorum Ethicorum auctore usurpatum video 1242^b 22 *ἡ δὲ κατ' ἴσα φιλία ἐστὶν ἡ πολιτική.* Ad sententiam hoc nihil facit.

978^a 31 sqq. *οὕτω δὲ καὶ ἄλλην οὖν ἀπόφασιν δέξονται τὸ ἄπειρον, εἰ μὴ τὸ πάλαι λεχθέντι μᾶλλον παρὰ τὸ μὴ ἔχειν ἢ μὴ ἔχειν ἐστὶν ἅπαν.* Sic codices, nisi quod in Lps. pro *λεχθέντι* exaratum est *λεχθὲν τί.* In antecedentibus demonstratum est, si statuatur non-ens esse non

album, inde non sequi ut ens sit album; posse enim eodem iure quo non-ens etiam ens esse non album. Cum autem duo sint *ἀποφάσεων* genera, alterum, quod per negationem *οὐ* formatur (e. g. *οὐ λευκόν*, *οὐ πεπερασμένον*), alterum quod per *α* privativum formatur (e. g. *ἄπειρον*), hoc contendit auctor noster, etiam alterum illud *ἀποφάσεων* genus cum notionibus affirmantibus, velut cum ente coniungi posse. Recte igitur *τὸ ὂν* dici posse *ἄπειρον*. Hanc esse sententiam loci eodemque etiam extrema illa inde ab *εἰ* spectare, totius argumentationis progressus docet. Falsus igitur est in summa re, etiamsi minora quaedam bene correxit, Brandis in Comment. Eleat. p. 81 sic locum constituens: *οὕτω δὲ κατ' ἄλλην οὖν ἀπόφασιν δέξονται τὸ ἄπειρον, εἰ καὶ μὴ τῷ πάλαι λεχθέντι ἔτι μᾶλλον περὶ τὸ ἔχειν* (recte omisso *μὴ* ante *ἔχειν*) *ἢ μὴ ἔχειν ἐστὶν ἅπαν*, quod ita ipse interpretatur: 'sic igitur iam perspicuum est, Deum esse infinitum posse, ne in auxilium quidem vocato antiquissimo illo praecepto: omnia aut habent aliquid aut non habent'. Haec prorsus aliena esse a sententia, non opus est uberius exponere. Sed ne verba quidem ea exprimunt, quae vult Brandis exprimi. Notum enim est apud peripateticos formulam *τὸ πάλαι λεχθέν* non verti posse 'antiquissimum praeceptum', sed ad ea referendam esse, quae paullo ante in eodem libro exposita sunt.

Ne longus sim, locus, ni fallor, sic restituendus: *οὕτω δὲ κατ' ἄλλην οὖν ἀπόφασιν δέξεται τὸ* ⟨*ὂν τὸ*⟩ *ἄπειρον, εἰ κατὰ* (pro *μὴ*) *τὸ πάλαι λεχθέν τι* (cum Lps.) *μᾶλλον παρὰ τὸ ἔχειν ἢ μὴ ἔχειν ἐστὶν ἄπειρον.* In his *τὸ ὂν*, quod sententia necessario requirit, excidit *ὁμοιοτελεύτῳ*; sed fortasse olim superscriptum fuit et irrepsit falso loco in *ἀποδέξεται* vocabulum, ut ex eo fieret *ἀποδέξονται.* Deinde pro eo quod codd. perperam praebent

μή scripsi *κατὰ*, quod coniungendum est cum insequente *τὸ πάλαι λεχθέν*. Spectant autem haec verba *τὸ πάλαι λεχθέν* ad ea, quae 978ª 17 sqq. exposita sunt his verbis: *τοῦτ' ἐστὶν ἄπειρον ὃ ἂν μὴ ἔχῃ πέρας δεκτικὸν ὂν πέρατος . . . . ὥστε ἂν μὴ ἔχῃ πέρας μέγεθος ὄν, ἄπειρόν ἐστιν*. Ex his enim patet, *τὸ ἄπειρον* magis de affirmantibus (*παρὰ τὸ ἔχειν*) quam de negantibus (*παρὰ τὸ μὴ ἔχειν*) praedicari. Postremo pro *ἅπαν* necessario scribendum videtur *ἄπειρον*; neque mirabitur abisse *ἄπειρον* in *ἅπαν*, qui consideraverit, quotiens in parvulo hoc libello vocabulum *ἄπειρον* a librariis corruptum sit. cf. quae exposui in Fleckeiseni annal. 1886 p. 752 et p. 758.

979ᵇ 12 *εἰ δὴ καὶ οὕτω τις ξυγχωροῖ* (sic Lps., ceteri *ξυγχωρεῖ*). Hic nullo modo ferri potest *δή*; recte igitur Mullach correxit *δὲ*; sed etiam recepto *δὲ* non omnis difficultas remota est; manet enim *οὕτω*, non aptum illud ad *ξυγχωροῖ*. Mullach proponit *τοῦτο* pro *οὕτω*; sed hoc minus verisimile. Scribendum potius suspicor *εἰ δ' εἶναι οὕτω κ. τ. λ.*, nam *δειναι* a librariis facile in *δὴ καί* corrumpi potuit.

Restat ut moneam in adnotatione critica me non omnes omnium opiniones commemorasse, sed eas, quae consideratione dignae viderentur.

CONSPECTUS.

ΠΕΡΙ ΦΥΤΩΝ.

ΠΡΟΛΟΓΟΣ ΤΟΥ ΕΡΜΗΝΕΩΣ ΕΙΣ ΤΟ ΠΕΡΙ ΦΥΤΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

Bekk. 14ᵃ *Τῷ τῆς Ἀριστοτελικῆς ἀειθαλεῖ φιλοσοφίας λειμῶνι πολλαὶ μὲν καὶ ἄλλαι δέλτοι κατὰ τὰ εὐγενῆ παραπεφύκασι τῶν φυτῶν, παμφόρους μὲν οἷς θεωροῦμεν, πολύχοας δὲ καὶ οἷς διαπραττόμεθα προϊέμεναι τοὺς καρπούς. ἦν δὲ πρὸς ταῖς ἄλλαις καὶ ἡ περὶ τῶν φυτῶν ὅσα καὶ φυτὸν εὐφυὲς βραχὺ μέν, ἀλλὰ συχναῖς ταῖς χάρισι βρύον καὶ καλλίστοις ἐκφορίοις τοὺς τῶν λόγων ἐραστὰς δεξιούμενον, οὐ μόνον λέγω τοὺς ἡμετέρους, τοὺς πάνυ, τοὺς περιφανεῖς τὰ ἐς λόγους καὶ τὴν σοφίαν ἀπαραμίλλους καὶ τὴν σύνεσιν Αὔσονας, ἀλλὰ καὶ τοὺς ἐκ μοίρας Ἰταλικῆς, καὶ οὐ τούτους μόνον, ἀλλὰ καὶ ὅσους τοιούτους οἶδεν ἡ τῶν εὐδαιμόνων Ἀράβων τρέφειν καὶ τῶν Ἰνδῶν. συχνὸν γὰρ ἐνέβαλεν ἵμερον τῶν ἑαυτοῦ συγγραμμάτων τοῖς ὁπουδήποτε φιλοσόφοις ὁ ἐκ Σταγείρων ἄκρος φιλόσοφος. ἀλλὰ τὸ τοιοῦτον φυτὸν οὐκ οἶδ' ὅπως οὐ μόνον αὔανσιν πέπονθε παρ' ἡμῖν, ἀλλοίωσίν τινα τάχα περὶ τὸ χεῖρον, οἷα φιλεῖ ὁ χρόνος ποιεῖν, ἀλλὰ καὶ προθέλυμνον ἐκκοπὴν καὶ εἰς τὸ μὴ ὂν ἀποστροφήν, ὡς οὐδ' ἄν ποτε φυτηκόμον εἶδεν, οὐδ' εἰ προῆλθεν εἰς φῶς. ὑπέστη τὰ ἴσα καὶ Ἰταλὸς μακρὸν χρόνον σὺν ἡμῖν χηρεύων τοῦ χρήματος. τοῖς Ἄραψιν ἐγνωρίζετο μόνοις, καὶ μόνοι τῶν τούτου καρπῶν ἀφθόνως ἀπήλαυνον. ἀλλά τις Κελτὸς μὲν τὸ γένος, ἐς τοσοῦτον δὲ τῆς τῶν Ἰταλῶν σοφίας ἐλάσας ὡς τῶν πρωτείων παραχωρεῖν μηδενί, εἶτα βραχὺ τοῦτο,*

Codex *Nᵃ* (*Marcianus* **215**) cf. Prolegg. ‖ 8 λέγω] λόγω Nᵃ

καίπερ ὂν τοσοῦτον, καθ' ἑαυτὸν οἰηθείς, ἂν μὴ καὶ τὴν τῶν Ἀράβων μετὰ τὴν τῶν Λατίνων μεταλάβοι γνῶσιν καὶ τὴν καλλίστην ἕξιν ἀσκήσειεν, ὅλος γίνεται τοῦ ἔργου, καὶ εἰς πέρας τὴν γνώμην ἀγαγεῖν θέλει καὶ τυχεῖν παντοίως τοῦ ἐφετοῦ. στέλλεται λοιπὸν τὴν ἀλλοδαπήν, χρῆται τοῖς Ἄραψι παιδευταῖς, καὶ τῇ εὐφυΐᾳ συμμετρήσας σπουδὴν τοσοῦτον εὐμοίρησε παιδείας, φασίν, ὡς δύνασθαι καὶ τὰ τῶν Ἀράβων εἰς Ἰταλοὺς καὶ τὰ τῶν Ἰταλῶν μεταπορθμεύειν εἰς Ἄραβας. οὗτος οὖν πρός τισιν ἄλλαις καὶ τὴν περὶ φυτῶν τήνδε βίβλον μεθερμηνεύει, κἀκ τῶν λογικῶν Ἀραβικῶν λειμώνων ὅσα καὶ φυτὸν εὐγενὲς εἰς τὰς Ἰταλικὰς μετακηπεύει φυταλιάς. ἔχαιρε γοῦν Ἰταλὸς ἐπὶ τούτῳ, καὶ τὰ μεγάλα ἐκόμπαζε· ταῖς Ἀριστοτελικαῖς γὰρ φιλοτιμεῖσθαι βίβλοις ὑπὲρ πάντας βρενθύεται· καὶ τοσοῦτον ἐνεκαυχᾶτο τῷ χρήματι, Ξέρξης οὐχ ἧττον ἐκεῖνος εἰς ἣν ὑπεσκιάσθη καὶ ἣν χρυσέαν ἔδειξε πλάτανον. ἦλθον εἰς ἐπιθυμίαν (μακρὸς ἐξότου χρόνος) κἀγὼ τοῦ φυτοῦ· λόγοι γάρ μοι τῶν τοῦ κόσμου πάντων χρῆμα τὸ τιμιώτατον. ἐπόθουν ἐμφορηθῆναι τῶν τούτου καρπῶν, τῶν νοημάτων εἰς ἕξιν ἐλθεῖν. ἐψυχαγώγει μοι τὴν ἐπιθυμίαν ἐλπίς, καὶ τὴν ἐλπίδα πάλιν εὐχὴ διεδέχετο. ἀλλὰ μέχρι πολλοῦ τὰ τῆς ἐπιθυμίας ἀτέλεστα, ἡ ἐλπὶς καὶ μόνον ἐλπίς· τὰ δὲ τῆς εὐχῆς ἐπετείνετο. τί δ' ἡ τῶν ἀγαθῶν ἁπάντων παντελὴς αἰτία καὶ ὑπερτελὴς καὶ προτέλειος; ἠρεμίαν τῇ ἐπιθυμίᾳ χορηγεῖ, τῇ ἐλπίδι πέρας, καὶ τὰ τῆς αἰτήσεως τῇ εὐχῇ. Ἰταλὸς γάρ τις ἔκποθεν ἡμῖν αἰφνιδίως ἀναφανείς, ἱκανῶς ἔχων λογικῆς παιδείας καὶ γνώσεως, πρόσεισιν ὡς ἡμᾶς, ἀσπάζεται χαριέντως, τὰ φιλικὰ προσλαλεῖ, εἶτα τὴν ποθουμένην βίβλον ἡμῖν ἐγχειρίζεται. ηὐφράνθην ἐγὼ ὡς ἐφ' ἑρμαίῳ τῷ χρήματι. ἐδεξάμην τὴν βίβλον ἐκθύμως. ὅλος αὐτῆς ἐγενόμην, τὸν ἐγκείμενον νοῦν ἀνελεξάμην ἐπιμελῶς, καὶ οἷον ὡς ἐν

7 εὐμοιρῆσαι Nª ‖ 18 τὸ om. Nª

ἐσόπτρῳ τῇδε ἐκ πρώτης αὐτῆς βαλβῖδος τὸν Ἀριστοτέλην ἔγνων καὶ τοὺς Ἀριστοτελικοὺς κατὰ τῶν πάλαι φιλοσοφούντων ἀντιλογικοὺς ἐτασμούς. ἀδικεῖν δ' ᾠήθην, μὰ τοὺς λόγους, τοὺς λόγους αὐτοὺς καὶ τοὺς αὐτῶν ἐραστάς, καὶ γραφῆναι βασκάνου ψυχῆς ηὐλαβήθην, ἂν μὴ ταύτην ἱκανῶς ἔχων ὑπὸ τῆς ἄνωθεν χάριτος πρὸς τὴν Ἑλλάδα μεθερμηνεύσαιμι γλῶτταν καὶ ταῖς λοιπαῖς Ἀριστοτελικαῖς δέλτοις δείξαιμι συναρίθμιον. τῷ τοι καὶ σὺν θεῷ τὸ ἔργον διήνυσα, καὶ εἰς κοινὴν προὐθέμην τὴν βίβλον τοῖς αἱρουμένοις ἀπόλαυσιν, πολλὴν εὑρὼν τὴν δυσχέρειαν καὶ τὴν τῶν ὀνομάτων σύγχυσιν διὰ τὰς συχνὰς τῶν μεθερμηνεύσεων μεταβολὰς ἐκ τῆς ἡμετέρας εἰς τὴν τῶν Ἰταλῶν, εἰς τοὺς Ἄραβας ἐκεῖθεν, καὶ πάλιν ἐξ Ἀράβων εἰς Ἰταλούς,
15ª καὶ εἰς ἡμᾶς ἐκ τούτων ἐπ' ἔσχατον. οὐ γὰρ διπρόσωπος, ὅσον ἐπὶ ταύτῃ τῇ βίβλῳ, ὁ Σταγειρίτης ὤφθη κατὰ τὸν θρυλλούμενον Ἰάνον ἐκεῖνον, ὃν καὶ εἰς χρόνον ἄγει λόγος ἰσχνός, ἀλλὰ πολύμορφος κατὰ τὸν Πρωτέα τὸν Φάριον. ἐπεὶ δὲ πᾶσα δέλτος ἐκ μιᾶς πρὸς ἑτέραν μεταφερομένη διάλεκτον ἢ κατὰ λέξιν ἢ κατ' ἔννοιαν προχωρεῖ, καὶ ἡ μὲν ὑστέρα τὸ σαφὲς ἔχουσα τοῦ ἀκριβοῦς ἀπολείπεται, ἡ δ' ἑτέρα καὶ προτέρα προσόντος τοῦ ἀκριβοῦς εἰς ἀσάφειαν καταστρέφεται, ἡμεῖς ὡς ἀσφαλεστέρῳ τούτῳ τῷ μέρει καὶ ἀδιαβλήτῳ στοιχοῦντες, καθὼς καὶ ἐν ἑτέραις πεποιήκαμεν δέλτοις, τῆς ἀκριβείας ἐχόμεθα. ἵνα δὲ μὴ φαινοίμεθα καὶ χώραν τῇ ἀσαφείᾳ διδόντες, ἣν κακίαν παντελῆ τοῖς λόγοις
815ᵇ ἐγνώκαμεν, ἐπανερμηνείαις τισὶ καὶ σχολικαῖς παρασημειώσεσιν, εἴ τι που ἐκ τῆς ἀσαφείας ἄχαρι καὶ ἀτερπές, ἐψυχαγωγήσαμεν, κἀκ τῆς σκληρᾶς καὶ τραχείας τοὺς λογικοὺς ὁδίτας εἰς τὴν λείαν τε καὶ πλατεῖαν ἐχειραγωγήσαμεν, καὶ τῷ ὑπὲρ ἡμᾶς τὴν εὐχαριστίαν καὶ τήν, ὡς εἰκός, ἀνθομολόγησιν ἀπενείμαμεν. τοῦτο γὰρ ἀφ' ἡμῶν ἀπαιτεῖ τῶν ὑπὸ χεῖρα

2 ἀνέγνων Nª ‖ 22 καὶ ἀδιαβλήτω τούτω τῶ μέρει Nª

καίπερ ὂν τοσοῦτον, καθ' ἑαυτὸν οἰηθείς, ἂν μὴ καὶ τὴν τῶν Ἀράβων μετὰ τὴν τῶν Λατίνων μεταλάβοι γνῶσιν καὶ τὴν καλλίστην ἕξιν ἀσκήσειεν, ὅλος γίνεται τοῦ ἔργου, καὶ εἰς πέρας τὴν γνώμην ἀγαγεῖν θέλει καὶ τυχεῖν παντοίως τοῦ ἐφετοῦ. στέλλεται λοιπὸν τὴν ἀλλοδαπήν, χρῆται τοῖς Ἄραψι παιδευταῖς, καὶ τῇ εὐφυΐᾳ συμμετρήσας σπουδὴν τοσοῦτον εὐμοίρησε παιδείας, φασίν, ὡς δύνασθαι καὶ τὰ τῶν Ἀράβων εἰς Ἰταλοὺς καὶ τὰ τῶν Ἰταλῶν μεταπορθμεύειν εἰς Ἄραβας. οὗτος οὖν πρός τισιν ἄλλαις καὶ τὴν περὶ φυτῶν τήνδε βίβλον μεθερμηνεύει, κἀκ τῶν λογικῶν Ἀραβικῶν λειμώνων ὅσα καὶ φυτὸν εὐγενὲς εἰς τὰς Ἰταλικὰς μετακηπεύει φυταλιάς. ἔχαιρε γοῦν Ἰταλὸς ἐπὶ τούτῳ, καὶ 814b *τὰ μεγάλα ἐκόμπαζε· ταῖς Ἀριστοτελικαῖς γὰρ φιλοτιμεῖσθαι βίβλοις ὑπὲρ πάντας βρενθύεται· καὶ τοσοῦτον ἐνεκαυχᾶτο τῷ χρήματι, Ξέρξης οὐχ ἧττον ἐκεῖνος εἰς ἣν ὑπεσκιάσθη καὶ ἣν χρυσέαν ἔδειξε πλάτανον. ἦλθον εἰς ἐπιθυμίαν (μακρὸς ἐξότου χρόνος) κἀγὼ τοῦ φυτοῦ· λόγοι γάρ μοι τῶν τοῦ κόσμου πάντων χρῆμα τὸ τιμιώτατον. ἐπόθουν ἐμφορηθῆναι τῶν τούτου καρπῶν, τῶν νοημάτων εἰς ἕξιν ἐλθεῖν. ἐψυχαγώγει μοι τὴν ἐπιθυμίαν ἐλπίς, καὶ τὴν ἐλπίδα πάλιν εὐχὴ διεδέχετο. ἀλλὰ μέχρι πολλοῦ τὰ τῆς ἐπιθυμίας ἀτέλεστα, ἡ ἐλπὶς καὶ μόνον ἐλπίς· τὰ δὲ τῆς εὐχῆς ἐπετείνετο. τί δ' ἡ τῶν ἀγαθῶν ἁπάντων παντελὴς αἰτία καὶ ὑπερτελὴς καὶ προτέλειος; ἠρεμίαν τῇ ἐπιθυμίᾳ χορηγεῖ, τῇ ἐλπίδι πέρας, καὶ τὰ τῆς αἰτήσεως τῇ εὐχῇ. Ἰταλὸς γάρ τις ἔκποθεν ἡμῖν αἰφνιδίως ἀναφανείς, ἱκανῶς ἔχων λογικῆς παιδείας καὶ γνώσεως, πρόσεισιν ὡς ἡμᾶς, ἀσπάζεται χαριέντως, τὰ φιλικὰ προσλαλεῖ, εἶτα τὴν ποθουμένην βίβλον ἡμῖν ἐγχειρίζεται. ηὐφράνθην ἐγὼ ὡς ἐφ' ἑρμαίῳ τῷ χρήματι. ἐδεξάμην τὴν βίβλον ἐκθύμως. ὅλος αὐτῆς ἐγενόμην, τὸν ἐγκείμενον νοῦν ἀνελεξάμην ἐπιμελῶς, καὶ οἷον ὡς ἐν*

7 *εὐμοιρῆσαι* N[a] ‖ 18 τὸ om. N[a]

ἐσόπτρῳ τῇδε ἐκ πρώτης αὐτῆς βαλβῖδος τὸν Ἀριστοτέλην ἔγνων καὶ τοὺς Ἀριστοτελικοὺς κατὰ τῶν πάλαι φιλοσοφούντων ἀντιλογικοὺς ἐτασμούς. ἀδικεῖν δ᾽ ᾠήθην, μὰ τοὺς λόγους, τοὺς λόγους αὐτοὺς καὶ τοὺς αὐτῶν ἐραστάς, καὶ γραφῆναι βασκάνου ψυχῆς ηὐλαβήθην, ἂν μὴ ταύτην ἱκανῶς ἔχων ὑπὸ τῆς ἄνωθεν χάριτος πρὸς τὴν Ἑλλάδα μεθερμηνεύσαιμι γλῶτταν καὶ ταῖς λοιπαῖς Ἀριστοτελικαῖς δέλτοις δείξαιμι συναρίθμιον. τῷ τοι καὶ σὺν θεῷ τὸ ἔργον διήνυσα, καὶ εἰς κοινὴν προὐθέμην τὴν βίβλον τοῖς αἱρουμένοις ἀπόλαυσιν, πολλὴν εὑρὼν τὴν δυσχέρειαν καὶ τὴν τῶν ὀνομάτων σύγχυσιν διὰ τὰς συχνὰς τῶν μεθερμηνεύσεων μεταβολὰς ἐκ τῆς ἡμετέρας εἰς τὴν τῶν Ἰταλῶν, εἰς τοὺς Ἄραβας ἐκεῖθεν, καὶ πάλιν ἐξ Ἀράβων εἰς Ἰταλούς,
5a καὶ εἰς ἡμᾶς ἐκ τούτων ἐπ᾽ ἔσχατον. οὐ γὰρ διπρόσωπος, ὅσον ἐπὶ ταύτῃ τῇ βίβλῳ, ὁ Σταγειρίτης ὤφθη κατὰ τὸν θρυλλούμενον Ἰάνον ἐκεῖνον, ὃν καὶ εἰς χρόνον ἄγει λόγος ἰσχνός, ἀλλὰ πολύμορφος κατὰ τὸν Πρωτέα τὸν Φάριον. ἐπεὶ δὲ πᾶσα δέλτος ἐκ μιᾶς πρὸς ἑτέραν μεταφερομένη διάλεκτον ἢ κατὰ λέξιν ἢ κατ᾽ ἔννοιαν προχωρεῖ, καὶ ἡ μὲν ὑστέρα τὸ σαφὲς ἔχουσα τοῦ ἀκριβοῦς ἀπολείπεται, ἡ δ᾽ ἑτέρα καὶ προτέρα προσόντος τοῦ ἀκριβοῦς εἰς ἀσάφειαν καταστρέφεται, ἡμεῖς ὡς ἀσφαλεστέρῳ τούτῳ τῷ μέρει καὶ ἀδιαβλήτῳ στοιχοῦντες, καθὼς καὶ ἐν ἑτέραις πεποιήκαμεν δέλτοις, τῆς ἀκριβείας ἐχόμεθα. ἵνα δὲ μὴ φαινοίμεθα καὶ χώραν τῇ ἀσαφείᾳ διδόντες, ἣν κακίαν παντελῆ τοῖς λόγοις
5b ἐγνώκαμεν, ἐπανερμηνείαις τισὶ καὶ σχολικαῖς παρασημειώσεσιν, εἴ τι που ἐκ τῆς ἀσαφείας ἄχαρι καὶ ἀτερπές, ἐψυχαγωγήσαμεν, κἀκ τῆς σκληρᾶς καὶ τραχείας τοὺς λογικοὺς ὁδίτας εἰς τὴν λείαν τε καὶ πλατεῖαν ἐχειραγωγήσαμεν, καὶ τῷ ὑπὲρ ἡμᾶς τὴν εὐχαριστίαν καὶ τήν, ὡς εἰκός, ἀνθομολόγησιν ἀπενείμαμεν. τοῦτο γὰρ ἀφ᾽ ἡμῶν ἀπαιτεῖ τῶν ὑπὸ χεῖρα

2 ἀνέγνων N^a ‖ 22 καὶ ἀδιαβλήτω τούτω τῶ μέρει N^a

τὸ δὲ θρεπτικὸν αἰτία ἐστὶν αὐξήσεως πράγματός τινος ζῶντος. αὗται δὲ αἱ διαφοραὶ προβαίνουσιν ἐν τῷ τόπῳ τούτῳ, ὅτι δυσχερὲς ἐν ταὐτῷ μεταξὺ ζωῆς καὶ τῆς στερήσεως αὐτῆς μέσον τι καταλαβεῖν. εἴποι δέ τις ἂν ὡς ἐπεὶ τὸ φυτὸν ζῶν ἐστίν, ἤδη τοῦτο καὶ ζῷον εἴποιμεν ἄν. οὐδαμῶς. καὶ γὰρ δυσνόητόν ἐστι τὴν διοίκησιν τοῦ φυτοῦ ἀποδιδόναι τῇ διοικήσει τῆς ψυχῆς τοῦ ζῴου. τὸ γὰρ τὰ φυτὰ τοῦ ζῆν ἀποφάσκον οὕτως, τοῦτο ἐστὶν ὅτι οὐκ αἰσθάνονται. καὶ γάρ εἰσι καί τινα ζῷα γνώσεως ἐστερημένα. ἐπεὶ δὲ ἡ φύσις τὴν τοῦ ζῴου ζωὴν ἐν τῷ θανάτῳ φθείρουσα, πάλιν ἐν τῷ ἰδίῳ γένει ταύτην διὰ γενέσεως συντηρεῖ, πάντῃ ἀσύμφωνόν ἐστιν ἵνα μέσον ἐμψύχου τε καὶ ἀψύχου ἄλλο τι μέσον τιθῶμεν. ἐπιστάμεθα δὲ ὅτι καὶ τὰ κογχύλιά εἰσι ζῷα, γνώσεως ἐστερημένα, διότι εἰσὶ φυτὰ ἐν ταὐτῷ καὶ ζῷα. μόνη ἄρα ἡ αἴσθησίς ἐστιν αἰτία δι᾽ ἣν ταῦτα λέγονται ζῷα. τὰ γὰρ γένη διδόασι τοῖς οἰκείοις εἴδεσιν ὀνόματα καὶ ὁρισμούς, τὰ δὲ εἴδη τοῖς οἰκείοις ἀτόμοις ὀνόματα. δεῖ τε τὸ γένος ἐκ μιᾶς καὶ κοινῆς αἰτίας εἶναι ἐν τοῖς πολλοῖς, καὶ οὐκ ἐκ πολλῶν. ὁ λόγος δὲ τῆς αἰτίας, δι᾽ ἣν βεβαιοῦται τὸ γένος, οὐ τῷ τυχόντι ἐστὶ γνώριμος. πάλιν εἰσὶ ζῷα ἅπερ στεροῦνται γένους θήλεος, ἕτερα ἅπερ οὐ γεννῶσιν, ἕτερα ἅπερ κίνησιν οὐκ ἔχουσιν· καὶ εἰσὶν ἄλλα διαφόρων χρωμάτων, καὶ εἰσί τινα ἃ ποιοῦσι τόκον ἑαυτοῖς ἀνόμοιον, εἰσί τε ἄλλα ἃ αὐξάνουσιν ἐκ τῆς γῆς ἢ ἐκ δένδρων. τίς οὖν ἐστὶν ἡ ἀρχὴ ἡ ἐν τῇ ψυχῇ τοῦ ζῴου; τί ἄλλο εἰ μὴ τὸ εὐγενὲς ζῷον, ὃ τὸν οὐρανὸν περιοδεύει, τὸν ἥλιον, τὰ ἄστρα καὶ τοὺς πλάνητας, τὰ ἀπὸ τῆς ἐνειρμένης ἐξωτερικὰ ἀμφιβολίας, ἃ δὴ καὶ ἀπαθῆ εἰσίν; ἡ γὰρ αἴσθησις τῶν αἰσθανομένων πάθος. ἰστέον δὲ καὶ ὅτι οὐκ ἔχουσι τὰ φυτὰ κίνησιν ἐξ ἑαυτῶν· τῇ γὰρ γῇ εἰσὶ πεπηγότα, ἡ δὲ γῆ ἀκίνητός ἐστι. συλλογισώμεθα τοίνυν πόθεν ἂν ταύτῃ ζωή,

3 δυσχερὲς] δυσνόητον Parisinus ‖ 8 αἰσθάνεται N^a ‖ 31 συλλογισόμεθα Bussemaker e Parisino, ut videtur ‖ ζωήν N^a

ἵνα ποιήσωμεν καὶ αὐτὰ αἰσθητικά. οὐ γὰρ περιέχει ταῦτα ἓν πρᾶγμα κοινόν. λέγομεν δὲ ὅτι τῆς ζωῆς τῶν ζῴων κοινή ἐστιν αἰτία ἡ αἴσθησις. αὕτη δὲ ποιεῖ διάκρισιν μέσον ζωῆς καὶ θανάτου. ὁ οὐρανὸς δὲ ἐπεὶ ἔχει διοίκησιν εὐγενεστέραν καὶ ἀξιολογωτέραν τῆς ἡμετέρας διοικήσεως, ἀπεμακρύνθη τούτων. δεῖ τοίνυν ἵνα τὸ ζῷον τὸ τέλειον καὶ τὸ ἠλαττωμένον ἔχῃ τι κοινόν· καὶ τοῦτο ἐστὶν ὁ σκοπὸς τῆς ζωῆς. τῇ ταύτης γοῦν στερήσει δεῖ ἵνα πᾶς τις ἀποχωρῇ τῶν τοιούτων ὀνομάτων, ὅτι οὐκ ἔστι μέσον. ἡ δὲ ζωή ἐστι μέσον· τὸ γὰρ ἄψυχον οὐκ ἔχει ψυχὴν οὐδέ τι τῶν μερῶν αὐτῆς. τὸ δὲ φυτὸν οὐκ ἔστιν ἐκ τῶν στερουμένων ψυχῆς, ὅτι ἐν αὐτῷ ἐστί τι μέρος ψυχῆς· ἀλλ' οὐκ ἔστι ζῷον, ὅτι
816b οὐδὲ αἴσθησις ἐν αὐτῷ. ἐξέρχεται δὲ ἐκ ζωῆς εἰς μὴ ζωὴν κατὰ βραχύ, ὡς καὶ τὰ καθ' ἕκαστον. δυνάμεθα δὲ καὶ ἄλλως λέγειν, ὅτι ἔστιν ἔμψυχον τὸ φυτόν, καὶ οὐ λέγομεν ὅτι ἄψυχον. εἰ ἔχει δὲ ψυχήν, οὐ λέγομεν ὅτι καί τινα ἤδη ἔχει αἴσθησιν. πρᾶγμα γὰρ τὸ τρεφόμενον οὐκ ἔστιν ἄνευ ψυχῆς. πᾶν δὲ ζῷον ἔχει ψυχήν. τὸ δὲ φυτόν ἐστιν ἀτελὲς πρᾶγμα. πάλιν τὸ ζῷον ἔχει μέλη διωρισμένα, τὸ φυτὸν ἀδιόριστα. ἔχει δὲ ὕλην οἰκείαν κινήσεως, ἣν ἔχει ἐν ἑαυτῷ. πάλιν δυνάμεθα λέγειν τὰ φυτὰ ψυχὴν ἔχειν, ὅτι ψυχή ἐστιν ἡ ποιοῦσα ἐν αὐτοῖς γεννᾶσθαι τὰς κινήσεις. ἐπιθυμία δὲ καὶ κίνησις ἡ ἐν τόποις οὐκ ἔστιν εἰ μὴ κατὰ αἰσθήσεως. πάλιν τὸ ἕλκειν τροφήν ἐστιν ἐξ ἀρχῆς φυσικῆς, καὶ τοῦτ' αὐτό ἐστι τὸ κοινὸν ζῴου καὶ φυτοῦ. οὐκ ἔσται δὲ φροντὶς ἐπὶ τῇ ἑλκύσει τῆς τροφῆς αἰσθήσεως τὸ παράπαν, ὅτι πᾶν τὸ τρεφόμενον χρῄζει ἐν τῇ οἰκείᾳ τροφῇ δύο ποιοτήτων τινῶν, θερμότητός φημι καὶ ψυχρότητος· καὶ διὰ τοῦτο δεῖται τροφῆς ὑγρᾶς ὁμοίως καὶ ξηρᾶς· ἡ δὲ θερμότης καὶ ἡ ψυχρότης εὑρίσκεται ἐν βρώμασι ξηροῖς καὶ

1 post *αἰσθητικά* signum interrogationis Bussemaker ‖ 4 *ἔχειν* N^a ‖ 18 *δὲ καὶ ἐκ* N^a ‖ 20 *οἰκείαν ἐκ κινήσεως* N^a ‖ 26 *ἐν* N^a ‖ 30 *ἡ* om. N^a

ὑγροῖς. οὐδεμία δὲ τῶν τοιούτων φύσεων χωρίζεται τῆς συμμετόχου αὐτῆς. διὰ τοῦτο γὰρ καὶ πρώτως ἐγένετο ἡ τροφὴ τῷ τρέφοντι συνεχὴς ἕως καὶ εἰς αὐτὴν τὴν ὥραν τῆς φθορᾶς· καὶ ὀφείλουσι χρῆσθαι ταύτῃ τὸ ζῷον καὶ τὸ φυτὸν τοιαύτῃ ὁποῖόν ἐστιν ἑκάτερον αὐτῶν.

2 Διερευνήσωμεν οὖν καὶ τοῦτο, ὃ προηγήσατο ἐν τῷ ἡμετέρῳ λόγῳ, περὶ ἐπιθυμίας φυτοῦ καὶ κινήσεως αὐτοῦ καὶ ψυχῆς ἰδίας, καὶ εἴ τι ἀναλύεται ἀπ' αὐτοῦ τοῦ φυτοῦ, ὅσον εἰς πνοήν. Ἀναξαγόρας γὰρ εἶπε ταῦτα ἔχειν καὶ πνοήν. καὶ πῶς, εἴπερ εὑρίσκομεν πολλὰ ζῷα μὴ ἔχοντα πνοήν, καὶ πάλιν εὑρίσκομεν ἀκριβῶς ὅτι τὰ φυτὰ οὔτε ὑπνώττουσιν οὔτε γρηγοροῦσιν. τὸ γὰρ γρηγορεῖν οὐδέν ἐστιν εἰ μὴ ἀπὸ διαθέσεως τῆς αἰσθήσεως, τὸ δὲ ὑπνώττειν οὐδὲν εἰ μὴ ἀσθένεια αὐτῆς· καὶ οὐχ εὑρίσκεταί τι τούτων ἐν πράγματι τρεφομένῳ μὲν πάσαις ὥραις κατὰ διοίκησιν μίαν, ἐν τῇ οἰκείᾳ δὲ φύσει μὴ αἰσθανομένῳ. τὸ γὰρ ζῷον ὅτε τρέφεται, τί συμβαίνει; τὸ ἀναβαίνειν ἀναθυμίασιν ἀπὸ τῆς τροφῆς πρὸς τὴν κεφαλὴν αὐτοῦ, καὶ ὑπνώττειν ἐντεῦθεν πάντως· καὶ ὅταν καταναλωθῇ ἡ ἀναθυμίασις ἡ ἀναβαίνουσα πρὸς τὴν κεφαλήν, τότε γρηγορεῖ. ἔν τισι δὲ τῶν ζῴων ἐστὶν αὕτη ἡ ἀναθυμίασις πολλή, καὶ τέως ὀλίγον ὑπνώττουσιν. ὁ δὲ νυσταγμός ἐστι συνοχὴ τῆς κινήσεως, ἡ δὲ συνοχὴ πάλιν ἠρεμία πράγματος κινουμένου. ὃ δὲ μάλιστα καὶ κυρίως ἐστὶ ζητητέον ἐν ταύτῃ τῇ ἐπιστήμῃ, τοῦτο ἐστὶν ὅπερ εἶπεν ὁ 81 Ἐμπεδοκλῆς, ἤγουν εἰ εὑρίσκεται ἐν τοῖς φυτοῖς γένος θῆλυ καὶ γένος ἄρρεν, καὶ εἰ ἔστιν εἶδος κεκραμένον ἐκ τούτων τῶν δύο γενῶν. λέγομεν τοίνυν ὅτι τὸ ἄρρεν, ὅτε γεννᾷ, εἰς ἄλλο γεννᾷ, καὶ εἰσὶν ἄμφω κεχωρισμένα ἀπ' ἀλλήλων.

5 φυτὸν τῇ τοιαύτῃ *N*ᵃ ‖ 6 διερευνήσομεν *N*ᵃ ‖ 10 ζῷα] τῶν ζώων *N*ᵃ ‖ 12 ἀπὸ διαθέσεως τῆς αἰσθήσεως: 'de *effectu* sensus' Alfredus. Videtur noster legisse 'affectu'. cf. 827ᵃ 18 ‖ 14 τρεφομένων et 16 αἰσθανομένων *N*ᵃ ‖ 16 τῷ γὰρ ζώῳ *N*ᵃ ‖ τί] τότε Sylburg

ἐπεὶ γοῦν εὑρίσκεται ἐν τοῖς φυτοῖς ὅτι ἔχει τὰ φυτὰ γένος ἄρρεν καὶ θῆλυ, καὶ πάντως τὸ μὲν ἄρρεν ἐστὶ τραχύτερον καὶ σκληρότερον καὶ μᾶλλον φρίσσον, τὸ δὲ θῆλυ ἀσθενέστερον καὶ καρποφόρον πλέον, πάλιν ὀφείλομεν ζητεῖν πότερον εὑρίσκονται ταῦτα τὰ δύο γένη κεκραμένα ἅμα ἐν τοῖς φυτοῖς, ὡς εἶπεν Ἐμπεδοκλῆς. ἀλλ' ἐγὼ οὐχ ὑπολαμβάνω τοῦτο τὸ πρᾶγμα οὕτως ἔχειν. τὰ γὰρ κεκραμένα ὀφείλουσιν εἶναι πρῶτον ἁπλᾶ ἐν ἑαυτοῖς, καὶ εἶναι καθ' αὑτὸ μὲν τὸ ἄρρεν καθ' αὑτὸ δὲ τὸ θῆλυ, κἀντεῦθεν κιρνᾶσθαι. ἡ δὲ κρᾶσις οὐκ ἔσται εἰ μὴ διὰ τὴν οἰκείαν γένεσιν. εὑρέθη γοῦν ἐν τοῖς φυτοῖς πρὸ τῆς κράσεως κρᾶσις, ἢ καὶ ὀφείλει εἶναι αἰτία ποιητικὴ καὶ παθητικὴ ἐν μιᾷ ὥρᾳ· ἀλλ' οὐχ εὑρίσκεται ἀρρενότης καὶ θηλύτης ἡνωμέναι ἔν τινι τῶν φυτῶν. εἰ δὲ τοῦτο οὕτως ἦν, τάχα ἂν τὸ φυτὸν ἦν τελειότερον τοῦ ζῴου. καὶ πῶς, εἴπερ τὸ ζῷον οὐ δεῖται ἐν τῇ οἰκείᾳ γενέσει πράγματός τινος ἐξωτερικοῦ, τὸ δὲ φυτὸν τοῦτο δεῖται ἐν τοῖς καιροῖς τοῦ ἔτους; δεῖται γὰρ ἡλίου καὶ εὐκρασίας καὶ τοῦ ἀέρος πλέον· καὶ τούτων δεῖται μᾶλλον ἐν τῇ ὥρᾳ τῆς ἐκφύσεως αὐτοῦ. ἔστι δὲ καί τις ἀρχὴ τῆς μὲν τροφῆς τῶν φυτῶν ἀπὸ τῆς γῆς, καὶ πάλιν ἀρχὴ ἑτέρα τῆς γενέσεως ἀπὸ τοῦ ἡλίου. εἶπε δὲ καὶ Ἀναξαγόρας ὅτι ἡ ὑγρότης τούτων ἐστὶν ἀπὸ τῆς γῆς, καὶ διὰ τοῦτο ἔφη πρὸς Λεχίνεον ὅτι ἡ γῆ μήτηρ μέν ἐστι τῶν φυτῶν, ὁ δὲ ἥλιος πατήρ. ἀλλὰ τὴν κρᾶσιν τοῦ ἄρρενος τῶν φυτῶν καὶ τοῦ θήλεος ὀφείλομεν διατυπώσασθαι οὐχ οὕτως ἀλλ' ἄλλῳ τινὶ τρόπῳ, οἷον ὅτι τὸ σπέρμα τοῦ φυτοῦ ὅμοιόν ἐστιν ἐγκυμονήσει ζῴου, ἥτις ἐστὶ μίξις ἄρρενός τε καὶ θήλεος. καὶ ὥσπερ ἐστὶν ἐν τοῖς ᾠοῖς ὅτε γίνεται νεοσσός, ἔστιν ἐντεῦθεν καὶ ἡ τροφὴ αὐτοῦ μέχρι καὶ αὐτῆς τῆς ὥρας τῆς συμπληρώσεως καὶ τῆς οἰκείας ἐξόδου, καὶ τότε τὸ θῆλυ

11 οὖν N[a] ‖ 17 δεῖται τῶν καιρῶν τοῦ ἔτους malebat Sylburg ‖ 18 ἔαρος N[a] ‖ τούτου N[a] ‖ 23 Λεχίνεον cf. indic.

ὁ μόνος σοφὸς καὶ δυνατὸς θεὸς κατὰ τὸν θεῖον ἀπόστολον. τίνος γὰρ ἄλλου δεῖται παρ' ἡμῶν, ὃς διά τινος τῶν προφητῶν περὶ ἑαυτοῦ λέγει „τὸν οὐρανὸν πληρῶ καὶ τὴν γῆν", καὶ οὗ ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς, κατὰ τὸν Δαβίδ, καὶ μεθ' οὗ πᾶς ἀγρὸς παντοίοις ὡραϊσμένος φυτοῖς;

Ἡ ζωὴ ἐν τοῖς ζῴοις καὶ ἐν τοῖς φυτοῖς εὑρέθη. ἀλλ' 81 ἐν μὲν τοῖς ζῴοις φανερὰ καὶ πρόδηλος, ἐν τοῖς φυτοῖς δὲ κεκρυμμένη καὶ οὐκ ἐμφανής. εἰς τὴν ταύτης γοῦν βεβαίωσιν πολλὴν ἀνάγκη ἐστὶ ζήτησιν προηγήσασθαι. συνίσταται γὰρ πότερον ἔχουσιν ἢ οὐχὶ τὰ φυτὰ ψυχὴν καὶ δύναμιν ἐπιθυμίας ὀδύνης τε καὶ ἡδονῆς καὶ διακρίσεως. Ἀναξαγόρας μὲν οὖν καὶ Ἐμπεδοκλῆς ἐπιθυμίᾳ ταῦτα κινεῖσθαι λέγουσιν, αἰσθάνεσθαί τε καὶ λυπεῖσθαι καὶ ἥδεσθαι διαβεβαιοῦνται. ὧν ὁ μὲν Ἀναξαγόρας καὶ ζῷα εἶναι καὶ ἥδεσθαι καὶ λυπεῖσθαι εἶπε, τῇ τε ἀπορροῇ τῶν φύλλων καὶ τῇ αὐξήσει τοῦτο ἐκλαμβάνων, ὁ δὲ Ἐμπεδοκλῆς γένος ἐν τούτοις κεκραμένον εἶναι ἐδόξασεν. ὡσαύτως καὶ ὁ Πλάτων ἐπιθυμεῖν μόνον αὐτὰ διὰ τὴν σφοδρὰν τῆς θρεπτικῆς δυνάμεως ἀνάγκην ἔφησεν. ὃ ἐὰν συσταίη, ἥδεσθαι ὄντως αὐτὰ καὶ λυπεῖσθαι αἰσθάνεσθαί τε σύμφωνον ἔσται. ἂν δὲ συσταίη τοῦτο, τῷ ἐπιθυμεῖν, εἰ καὶ ἀεὶ τῷ ὕπνῳ ἀνακτῶνται καὶ ἐγείρονται ταῖς ἐγρηγόρσεσι, σύμφωνον ἔσται. ὡσαύτως καὶ ἐὰν ζητήσωμεν εἰ πνοὴν καὶ γένος ἐκ συγκράσεως ἔχουσιν ἢ τὸ ἐναντίον, πολλὴν ἂν τὴν περὶ τούτου ἀμφιβολίαν καὶ μακρὰν ποιήσωμεν τὴν ζήτησιν. τὸ δὲ τὰ τοιαῦτα παραλιμπάνειν καὶ μὴ εὐαναλώτοις περὶ τὰ καθ' ἕκαστον ἐρεύναις ἐνδιατρίβειν πρέπον ἐστίν. τινὲς δὲ ἔχειν

16 *γάνος* N^a ‖ 20 *ἂν*—21 *ὕπνῳ* corrupta videntur: 'id quoque constare desiderem' Alfredus, *ἂν δὲ συστῇ τοῦτο, καὶ τὸ ἐπιθυμεῖν· εἴ γε τῷ ὕπνῳ* Sylburg ‖ 22 *ἔσται* om. N^a ‖ 25 *ποιήσομεν* N^a

ψυχὰς τὰ φυτὰ εἶπον, ὅτι γεννᾶσθαι τρέφεσθαι καὶ αὐξάνεσθαι, νεάζειν καὶ χλοάζειν γήρᾳ τε διαλύεσθαι τεθεωρήκασιν, ἐπείπερ οὐδὲν ἄψυχον ταῦτα μετὰ τῶν φυτῶν ἔχει κοινά. διότι δὲ ἔχουσι ταῦτα τὰ φυτά, καὶ τὸ ἐπιθυμίᾳ
15b ὡσαύτως κατέχεσθαι ἐπίστευον. ἀλλὰ πρῶτον τοῖς φανεροῖς, εἶτα καὶ τοῖς κεκρυμμένοις ἀκολουθήσωμεν. λέγομεν τοίνυν ὡς ἐὰν εἴ τι τρέφεται, ἤδη καὶ ἐπιθυμεῖ, καὶ ἡδύνεται μὲν τῷ κόρῳ, λυπεῖται δὲ ὅτε πεινᾷ· καὶ οὐκ ἐμπίπτουσιν αὗται αἱ διαθέσεις εἰ μὴ μετὰ αἰσθήσεως. τούτου ἄρα θαυμάσιος μέν, οὐ μὴν φαῦλος πλανᾶται σκοπός, ὃς καὶ τὰ φυτὰ αἰσθάνεσθαι καὶ ἐπιθυμεῖν ἐδόξασεν. ὁ δὲ Ἀναξαγόρας καὶ ὁ Δημόκριτος καὶ ὁ Ἐμπεδοκλῆς καὶ νοῦν καὶ γνῶσιν εἶπον ἔχειν τὰ φυτά. ἡμεῖς δὲ τὰ τοιαῦτα ὡς φαῦλα ἀποτρεπόμενοι τῷ ὑγιεῖ ἐνστῶμεν λόγῳ. λέγομεν οὖν ὅτι τὰ φυτὰ οὔτε ἐπιθυμίαν οὔτε αἴσθησιν ἔχουσιν. ἡ γὰρ ἐπιθυμία οὐκ ἔστιν εἰ μὴ ἐξ αἰσθήσεως, καὶ τὸ τοῦ ἡμετέρου δὲ θελήματος τέλος πρὸς τὴν αἴσθησιν ἀποστρέφεται. οὐχ εὑρίσκομεν γοῦν ἐν τοῖς τοιούτοις αἴσθησιν οὔτε μέλος αἰσθανόμενον, οὔτε ὁμοιότητα αὐτοῦ, οὔτε εἶδος διωρισμένον, οὔτε τι ἀκόλουθον τούτῳ, οὔτε τοπικὴν κίνησιν, οὔτε ὁδὸν πρός τι αἰσθητόν, οὔτε σημεῖόν τι δι' οὗ ἂν κρίνωμεν ταῦτα αἴσθησιν ἔχειν, καθὼς σημεῖα δι' ὧν ἐπιστάμεθα ταῦτα καὶ τρέφεσθαι καὶ αὐξάνεσθαι εὑρίσκομεν. οὐδὲ συνίσταται παρ' ἡμῶν τοῦτο εἰ μὴ διότι τὸ θρεπτικὸν καὶ αὐξητικὸν νοοῦμεν μέρη εἶναι τῆς ψυχῆς. ὁπόταν γοῦν τὸ τοιοῦτον φυτὸν εὑρίσκωμέν τι μέρος ψυχῆς τοιαύτης ἐν ἑαυτῷ ἔχον, ἐξ ἀνάγκης νοοῦμεν καὶ ψυχὴν ἔχειν αὐτό· ὅτε δὲ στερεῖται αἰσθήσεως, τότε αἰσθητικὸν αὐτὸ μὴ εἶναι μὴ ἐγχωρεῖν οὐ δεῖ· ἡ γὰρ αἴσθησις αἰτία ἐστὶν ἐλλάμψεως ζωῆς.

13 ἔχειν τὰ φυτὰ εἶπον N^a ‖ 18 οὖν N^a ‖ τοῖς τοιούτοις] τούτοις N^a ‖ 20 τοπικὴν om. N^a ‖ 21 διακρίνωμεν N^a ‖ 23 αὐξάνειν N^a ‖ 28 τότε — 29 οὐ δεῖ corrupta videntur cf. Bonitz ind. Arist. 215b 44

τὸ δὲ θρεπτικὸν αἰτία ἐστὶν αὐξήσεως πράγματός τινος ζῶντος. αὗται δὲ αἱ διαφοραὶ προβαίνουσιν ἐν τῷ τόπῳ τούτῳ, ὅτι δυσχερὲς ἐν ταὐτῷ μεταξὺ ζωῆς καὶ τῆς στερήσεως αὐτῆς μέσον τι καταλαβεῖν. εἴποι δέ τις ἂν ὡς ἐπεὶ τὸ φυτὸν ζῶν ἐστίν, ἤδη τοῦτο καὶ ζῷον εἴποιμεν ἄν. οὐδαμῶς. καὶ γὰρ δυσνόητόν ἐστι τὴν διοίκησιν τοῦ φυτοῦ ἀποδιδόναι τῇ διοικήσει τῆς ψυχῆς τοῦ ζῴου. τὸ γὰρ τὰ φυτὰ τοῦ ζῆν ἀποφάσκον οὕτως, τοῦτο ἐστὶν ὅτι οὐκ αἰσθάνονται. καὶ γάρ εἰσι καί τινα ζῷα γνώσεως ἐστερημένα. ἐπεὶ δὲ ἡ φύσις τὴν τοῦ ζῴου ζωὴν ἐν τῷ θανάτῳ φθείρουσα, πάλιν ἐν τῷ ἰδίῳ γένει ταύτην διὰ γενέσεως συντηρεῖ, πάντῃ ἀσύμφωνόν ἐστιν ἵνα μέσον ἐμψύχου τε καὶ ἀψύχου ἄλλο τι μέσον τιθῶμεν. ἐπιστάμεθα δὲ ὅτι καὶ τὰ κογχύλιά εἰσι ζῷα, γνώσεως ἐστερημένα, διότι εἰσὶ φυτὰ ἐν ταὐτῷ καὶ ζῷα. μόνη ἄρα ἡ αἴσθησίς ἐστιν αἰτία δι' ἣν ταῦτα λέγονται ζῷα. τὰ γὰρ γένη διδόασι τοῖς οἰκείοις εἴδεσιν ὀνόματα καὶ ὁρισμούς, τὰ δὲ εἴδη τοῖς οἰκείοις ἀτόμοις ὀνόματα. δεῖ τε τὸ γένος ἐκ μιᾶς καὶ κοινῆς αἰτίας εἶναι ἐν τοῖς πολλοῖς, καὶ οὐκ ἐκ πολλῶν. ὁ λόγος δὲ τῆς αἰτίας, δι' ἣν βεβαιοῦται τὸ γένος, οὐ τῷ τυχόντι ἐστὶ γνώριμος. πάλιν εἰσὶ ζῷα ἅπερ στεροῦνται γένους θήλεος, ἕτερα ἅπερ οὐ γεννῶσιν, ἕτερα ἅπερ κίνησιν οὐκ ἔχουσιν· καὶ εἰσὶν ἄλλα διαφόρων χρωμάτων, καὶ εἰσί τινα ἃ ποιοῦσι τόκον ἑαυτοῖς ἀνόμοιον, εἰσί τε ἄλλα ἃ αὐξάνουσιν ἐκ τῆς γῆς ἢ ἐκ δένδρων. τίς οὖν ἐστὶν ἡ ἀρχὴ ἡ ἐν τῇ ψυχῇ τοῦ ζῴου; τί ἄλλο εἰ μὴ τὸ εὐγενὲς ζῷον, ὃ τὸν οὐρανὸν περιοδεύει, τὸν ἥλιον, τὰ ἄστρα καὶ τοὺς πλάνητας, τὰ ἀπὸ τῆς ἐνειρμένης ἐξωτερικὰ ἀμφιβολίας, ἃ δὴ καὶ ἀπαθῆ εἰσίν; ἡ γὰρ αἴσθησις τῶν αἰσθανομένων πάθος. ἰστέον δὲ καὶ ὅτι οὐκ ἔχουσι τὰ φυτὰ κίνησιν ἐξ ἑαυτῶν· τῇ γὰρ γῇ εἰσὶ πεπηγότα, ἡ δὲ γῆ ἀκίνητός ἐστι. συλλογισώμεθα τοίνυν πόθεν ἂν ταύτῃ ζωή,

3 δυσχερὲς] δυσνόητον Parisinus ‖ 8 αἰσθάνεται Na ‖ 31 συλλογισόμεθα Bussemaker e Parisino, ut videtur ‖ ζωήν Na

φυτοῦ, μηκυνθήσεται ὁ λόγος, καὶ τυχὸν οὐδὲ δυνηθείημεν διεξελθεῖν ἂν ταῦτα, μεγάλαις διαφοραῖς ἀπαριθμοῦντες τὰ μέρη τῶν φυτῶν. καὶ γὰρ μέρος ἑκάστου πράγματος ἐκ τοῦ ἰδίου γένους ἐστὶ καὶ ἐκ τῆς ἰδίας οὐσίας. καὶ ὅταν γεννηθῇ τι εἶδος φυτοῦ, μένει ἐν τῇ οἰκείᾳ διαθέσει, ἂν μή τινι χρονικῇ ἀσθενείᾳ καὶ βαρείᾳ τῆς οἰκείας ἐκπέσῃ τοιᾶσδε διαθέσεως. τῶν ἀνθέων τοίνυν καὶ τῶν καρπῶν καὶ τῶν φύλλων τῶν ἐν τοῖς φυτοῖς τινὰ μὲν ἐν παντὶ ἔτει εἰσί, τινὰ δὲ οὐχ οὕτως ἔχει οὐδὲ διαμένουσιν, ὡς ὁ φλοιὸς καί τι σῶμα πῖπτον ἀπὸ πράγματος τοῦ ἀπορρίπτοντος τοῦτο διά τινα αἰτίαν. οὐ μένουσι δὲ ταῦτα ἐν τῷ φυτῷ, ὅτι πολλάκις πίπτουσιν ἐξ αὐτοῦ μέρη τινὰ μὴ διωρισμένα, ὡς τρίχες ἐξ ἀνθρώπων καὶ ὄνυχες. πλὴν γεννῶνται τρίχες ἢ ἐν αὐτοῖς τοῖς μέρεσιν ὅθεν ἐξέπεσον, ἢ ἐκτὸς ἐν ἄλλοις. καὶ ἤδη φανερὸν γέγονεν ὅτι τὰ μέρη τοῦ φυτοῦ οὐκ εἰσὶ διωρισμένα, εἴτε καὶ μή, ἀλλὰ μόνον ἀδιόριστα. ἡμῖν δὲ αἰσχρόν ἐστι λέγειν πράγματά τινα μεθ' ὧν αὐξάνεται τὸ ζῷον καὶ συμπληροῦται μετ' αὐτῶν, μὴ εἶναι μέρη αὐτοῦ, ἀλλ' εἶναι κατὰ τὰ φύλλα καὶ πάντα τὰ τοιαῦτα τὰ ἐν τῷ φυτῷ, κἂν καὶ οὐκ ὦσι διωρισμένα τὰ τοιαῦτα μέρη τοῦ ζῴου, κἂν καὶ κατὰ μικρὸν ἐκπίπτωσιν, ὡς τὰ κέρατα τῆς ἐλάφου καὶ κόμαι τινῶν ζῴων καὶ τρίχες ἄλλων, ἃ δὴ κρύπτουσιν ἑαυτὰ κατὰ τὸν χειμερινὸν καιρὸν ἐν ὀπαῖς καὶ ὑπὸ γῆν πίπτουσι, κἂν καὶ τὸ τοιοῦτον πάθος παρόμοιον ἔχωσι τῇ πτώσει τῶν φυτῶν. ὀφείλομεν οὖν εἰπεῖν περὶ τῶν πραγμάτων ὧν πρότερον ἱστορήσαμεν, καὶ ἄρξασθαι ἀπαριθμεῖν τὰ ἴδια μέρη τῶν φυτῶν καὶ τὰ κοινὰ καὶ τὰς τούτων διαφοράς. λέγομεν τοίνυν ὡς ἐπὶ τοῖς μέρεσι τῶν φυτῶν ἐστὶ μεγάλη διαφορὰ ἐν τῷ πλήθει καὶ ἐν τῇ ὀλιγότητι, ἐν τῷ μεγέθει καὶ ἐν τῇ σμικρότητι, ἐν τῇ δυνάμει καὶ ἐν τῇ ἀσθενείᾳ. τοῦτο

8 *τοῖς* om. *N*a || 16 ante *εἴτε καὶ μὴ* aliquid intercidisse videtur: 'sive sint partes plantae, sive non' Alfredus || 18 *αὐτῶν* *N*a ||

ὑγροῖς. οὐδεμία δὲ τῶν τοιούτων φύσεων χωρίζεται τῆς συμμετόχου αὐτῆς. διὰ τοῦτο γὰρ καὶ πρώτως ἐγένετο ἡ τροφὴ τῷ τρέφοντι συνεχὴς ἕως καὶ εἰς αὐτὴν τὴν ὥραν τῆς φθορᾶς· καὶ ὀφείλουσι χρῆσθαι ταύτῃ τὸ ζῷον καὶ τὸ φυτὸν τοιαύτῃ ὁποῖόν ἐστιν ἑκάτερον αὐτῶν.

2 Διερευνήσωμεν οὖν καὶ τοῦτο, ὃ προηγήσατο ἐν τῷ ἡμετέρῳ λόγῳ, περὶ ἐπιθυμίας φυτοῦ καὶ κινήσεως αὐτοῦ καὶ ψυχῆς ἰδίας, καὶ εἴ τι ἀναλύεται ἀπ' αὐτοῦ τοῦ φυτοῦ, ὅσον εἰς πνοήν. Ἀναξαγόρας γὰρ εἶπε ταῦτα ἔχειν καὶ πνοήν. καὶ πῶς, εἴπερ εὑρίσκομεν πολλὰ ζῷα μὴ ἔχοντα πνοήν, καὶ πάλιν εὑρίσκομεν ἀκριβῶς ὅτι τὰ φυτὰ οὔτε ὑπνώττουσιν οὔτε γρηγοροῦσιν. τὸ γὰρ γρηγορεῖν οὐδέν ἐστιν εἰ μὴ ἀπὸ διαθέσεως τῆς αἰσθήσεως, τὸ δὲ ὑπνώττειν οὐδὲν εἰ μὴ ἀσθένεια αὐτῆς· καὶ οὐχ εὑρίσκεταί τι τούτων ἐν πράγματι τρεφομένῳ μὲν πάσαις ὥραις κατὰ διοίκησιν μίαν, ἐν τῇ οἰκείᾳ δὲ φύσει μὴ αἰσθανομένῳ. τὸ γὰρ ζῷον ὅτε τρέφεται, τί συμβαίνει; τὸ ἀναβαίνειν ἀναθυμίασιν ἀπὸ τῆς τροφῆς πρὸς τὴν κεφαλὴν αὐτοῦ, καὶ ὑπνώττειν ἐντεῦθεν πάντως· καὶ ὅταν καταναλωθῇ ἡ ἀναθυμίασις ἡ ἀναβαίνουσα πρὸς τὴν κεφαλήν, τότε γρηγορεῖ. ἔν τισι δὲ τῶν ζῴων ἐστὶν αὕτη ἡ ἀναθυμίασις πολλή, καὶ τέως ὀλίγον ὑπνώττουσιν. ὁ δὲ νυσταγμός ἐστι συνοχὴ τῆς κινήσεως, ἡ δὲ συνοχὴ πάλιν ἠρεμία πράγματος κινουμένου. ὃ δὲ μάλιστα καὶ κυρίως ἐστὶ ζητητέον ἐν ταύτῃ τῇ ἐπιστήμῃ, τοῦτο ἐστὶν ὅπερ εἶπεν ὁ Ἐμπεδοκλῆς, ἤγουν εἰ εὑρίσκεται ἐν τοῖς φυτοῖς γένος θῆλυ καὶ γένος ἄρρεν, καὶ εἰ ἔστιν εἶδος κεκραμένον ἐκ τούτων τῶν δύο γενῶν. λέγομεν τοίνυν ὅτι τὸ ἄρρεν, ὅτε γεννᾷ, εἰς ἄλλο γεννᾷ, καὶ εἰσὶν ἄμφω κεχωρισμένα ἀπ' ἀλλήλων.

5 φυτὸν τῇ τοιαύτῃ Nᵃ ‖ 6 διερευνήσομεν Nᵃ ‖ 10 ζῷα] τῶν ζώων Nᵃ ‖ 12 ἀπὸ διαθέσεως τῆς αἰσθήσεως: 'de *effectu* sensus' Alfredus. Videtur noster legisse 'affectu'. cf. 827ᵃ 18 ‖ 14 τρεφομένων et 16 αἰσθανομένων Nᵃ ‖ 16 τῷ γὰρ ζώῳ Nᵃ ‖ τί] τότε Sylburg

ἐπεὶ γοῦν εὑρίσκεται ἐν τοῖς φυτοῖς ὅτι ἔχει τὰ φυτὰ γένος ἄρρεν καὶ θῆλυ, καὶ πάντως τὸ μὲν ἄρρεν ἐστὶ τραχύτερον καὶ σκληρότερον καὶ μᾶλλον φρίσσον, τὸ δὲ θῆλυ ἀσθενέστερον καὶ καρποφόρον πλέον, πάλιν ὀφείλομεν ζητεῖν πότερον εὑρίσκονται ταῦτα τὰ δύο γένη κεκραμένα ἅμα ἐν τοῖς φυτοῖς, ὡς εἶπεν Ἐμπεδοκλῆς. ἀλλ' ἐγὼ οὐχ ὑπολαμβάνω τοῦτο τὸ πρᾶγμα οὕτως ἔχειν. τὰ γὰρ κεκραμένα ὀφείλουσιν εἶναι πρῶτον ἁπλᾶ ἐν ἑαυτοῖς, καὶ εἶναι καθ' αὑτὸ μὲν τὸ ἄρρεν καθ' αὑτὸ δὲ τὸ θῆλυ, κἀντεῦθεν κιρνᾶσθαι. ἡ δὲ κρᾶσις οὐκ ἔσται εἰ μὴ διὰ τὴν οἰκείαν γένεσιν. εὑρέθη γοῦν ἐν τοῖς φυτοῖς πρὸ τῆς κράσεως κρᾶσις, ἢ καὶ ὀφείλει εἶναι αἰτία ποιητικὴ καὶ παθητικὴ ἐν μιᾷ ὥρᾳ· ἀλλ' οὐχ εὑρίσκεται ἀρρενότης καὶ θηλύτης ἡνωμέναι ἔν τινι τῶν φυτῶν. εἰ δὲ τοῦτο οὕτως ἦν, τάχα ἂν τὸ φυτὸν ἦν τελειότερον τοῦ ζῴου. καὶ πῶς, εἴπερ τὸ ζῷον οὐ δεῖται ἐν τῇ οἰκείᾳ γενέσει πράγματός τινος ἐξωτερικοῦ, τὸ δὲ φυτὸν τοῦτο δεῖται ἐν τοῖς καιροῖς τοῦ ἔτους; δεῖται γὰρ ἡλίου καὶ εὐκρασίας καὶ τοῦ ἀέρος πλέον· καὶ τούτων δεῖται μᾶλλον ἐν τῇ ὥρᾳ τῆς ἐκφύσεως αὐτοῦ. ἔστι δὲ καί τις ἀρχὴ τῆς μὲν τροφῆς τῶν φυτῶν ἀπὸ τῆς γῆς, καὶ πάλιν ἀρχὴ ἑτέρα τῆς γενέσεως ἀπὸ τοῦ ἡλίου. εἶπε δὲ καὶ Ἀναξαγόρας ὅτι ἡ ὑγρότης τούτων ἐστὶν ἀπὸ τῆς γῆς, καὶ διὰ τοῦτο ἔφη πρὸς Λεχίνεον ὅτι ἡ γῆ μήτηρ μέν ἐστι τῶν φυτῶν, ὁ δὲ ἥλιος πατήρ. ἀλλὰ τὴν κρᾶσιν τοῦ ἄρρενος τῶν φυτῶν καὶ τοῦ θήλεος ὀφείλομεν διατυπώσασθαι οὐχ οὕτως ἀλλ' ἄλλῳ τινὶ τρόπῳ, οἷον ὅτι τὸ σπέρμα τοῦ φυτοῦ ὅμοιόν ἐστιν ἐγκυμονήσει ζῴου, ἥτις ἐστὶ μίξις ἄρρενός τε καὶ θήλεος. καὶ ὥσπερ ἐστὶν ἐν τοῖς ᾠοῖς ὅτε γίνεται νεοσσός, ἔστιν ἐντεῦθεν καὶ ἡ τροφὴ αὐτοῦ μέχρι καὶ αὐτῆς τῆς ὥρας τῆς συμπληρώσεως καὶ τῆς οἰκείας ἐξόδου, καὶ τότε τὸ θῆλυ

11 *οὖν* N^a ‖ 17 *δεῖται τῶν καιρῶν τοῦ ἔτους* malebat Sylburg ‖ 18 *ἔαρος* N^a ‖ *τούτου* N^a ‖ 23 *Λεχίνεον* cf. indic.

ἐκτίθησι τὸν νεοσσὸν ἐν μιᾷ ὥρᾳ· οὕτω καὶ τὸ σπέρμα τοῦ φυτοῦ. εἶπε δὲ πάλιν Ἐμπεδοκλῆς ὅτι τὰ φυτά, εἰ καὶ νεοσσοὺς οὐ γεννῶσι, διότι τὸ γεννώμενον οὐ γεννᾶται εἰ μὴ ἐκ τῆς φύσεως τοῦ σπέρματος, καὶ ὅτι ὅπερ μένει ἐξ αὐτοῦ ἐν τῇ ἀρχῇ τροφὴ γίνεται τῆς ῥίζης, καὶ τὸ γεννώμενον κινεῖ αὐτὸ ἑαυτὸ παραυτίκα, ὅμως οὕτως ὀφείλομεν ὑπολαμβάνειν καὶ ἐν τῇ μίξει τῶν ἀρρένων καὶ τῶν θηλέων φυτῶν, 817^b *ὡς ἐπὶ τῶν ζῴων, ὅτι καὶ ἡ μίξις τῶν φυτῶν ἐστὶν ἐν διοικήσει τινί· ἀλλ' ἐν τοῖς ζῴοις, ὅτε μίγνυνται, τὰ γένη μίγνυνται καὶ αἱ δυνάμεις τῶν γενῶν, αἳ ἦσαν πρότερον κεχωρισμέναι, καὶ προῆλθεν ἐκ τούτων ἀμφοτέρων πρᾶγμά τι ἕν· ὃ δὴ οὐκ ἔστιν ἐν τοῖς φυτοῖς. οὐ γὰρ ὅτε μίγνυνται τὰ γένη, καὶ αἱ δυνάμεις αὐτῶν μετὰ ταῦτα γίνονται κεχωρισμέναι. εἰ γοῦν ἡ φύσις ἔμιξε τὸ ἄρρεν μετὰ τοῦ θήλεος, καλῶς προέβη, ὅτι οὐχ εὑρίσκομεν ἐνέργειάν τινα ἐν τοῖς φυτοῖς παρὰ τὴν γένεσιν τῶν καρπῶν. οὐδὲ γάρ ἐστι ζῷον κεχωρισμένον τοῦ θήλεος εἰ μὴ ἐν ὥραις αἷς οὐ συνάπτεται. τοῦτο δέ ἐστι διὰ τὰς πολλὰς ἐνεργείας αὐτοῦ καὶ διὰ τὰς πολλὰς αὐτοῦ ἐπιστήμας. εἰσὶ δὲ οἵτινες τὰ φυτὰ πεπληρωμένα ὑπολαμβάνουσι, καὶ τὴν χάριν τῆς ζωῆς αὐτῶν εἶναι διὰ τὰς δύο δυνάμεις ἃς ἔχει, ἤγουν διὰ τὴν τροφὴν τὴν ἐπιτηδείαν εἰς τὸ τρέφειν αὐτὰ καὶ διὰ τὴν μακρότητα τῆς οἰκείας ὑπάρξεως καὶ τοῦ καιροῦ ὁπόταν βλαστάνῃ καὶ καρποφορῇ ἡ ζωὴ αὐτῶν, καὶ στρέφηται πρὸς αὐτὰ ἡ νεότης αὐτῶν, καὶ οὐ γίνηται ἐν αὐτοῖς τι περιττόν. οὐ δεῖται δὲ τὸ φυτὸν ὕπνου διὰ πολλὰς αἰτίας, ὅτι κεῖται τὸ φυτὸν ἐν τῇ γῇ, καὶ δεσμεῖται ὑπ' αὐτῆς, καὶ οὐκ ἔχει κίνησιν ἐν ἑαυτῷ, οὐδὲ ὅρον διωρισμένον ἐν τοῖς οἰκείοις μέρεσιν οὔτε αἴσθησιν ἔχει, οὔτε κίνησιν αὐτοπροαίρετον, οὔτε ψυχὴν τελείαν· τοῦτο δὲ ἔχει μᾶλλον μέρος μέρους ψυχῆς.*

2 *δὲ* om. *N*^{a} ‖ 4 *μένει*] *μὲν εἰ N*^{a} ‖ *αὐτῶν N*^{a} ‖ 9 et 12 *ὅταν N*^{a} ‖ 23 *ἰδίας N*^{a} ‖ 25 *γίγνεται* Bussemaker e Parisino ‖ 30 *μέρος om. N*^{a}

καὶ τὸ φυτὸν οὐκ ἐδημιουργήθη εἰ μὴ διὰ τὸ ζῷον, τὸ δὲ ζῷον οὐκ ἐδημιουργήθη διὰ τὸ φυτόν. καὶ πάλιν ἐὰν εἴπῃ τις ὅτι τὸ φυτὸν δεῖται μὲν τροφῆς εὐτελοῦς καὶ μοχθηρᾶς, εἰ καὶ δεῖται δὲ τοιαύτης, ὅμως κατὰ πολὺ σταθηρᾶς καὶ συνεχοῦς καὶ μὴ ῥᾳδίως διαφθειρομένης, κἀντεῦθεν συνίσταται ἵνα τὸ φυτὸν ἔχῃ τι κρεῖττον παρὰ τὸ ζῷον, καὶ διὰ τοῦτο ἀνάγκη καὶ πράγματα ἄψυχα εἶναι εὐγενέστερα τῶν ἐμψύχων. ἀλλὰ ἔργον ἓν τοῦ ζῴου ἐστὶ κρεῖττον παρὰ πᾶν ἔργον τοῦ φυτοῦ. ἄλλως τε εὑρίσκομεν καὶ ἐν τῷ ζῴῳ πάσας τὰς δυνάμεις τὰς ἐν τῷ φυτῷ, καὶ ἄλλας πολλάς, οὐ μὴν καὶ ἔμπαλιν. εἶπε πάλιν ὁ Ἐμπεδοκλῆς ὅτι τὰ φυτὰ ἔχουσι γένεσιν ἐν κόσμῳ ἠλαττωμένῳ καὶ οὐ τελείῳ κατὰ τὴν συμπλήρωσιν αὐτοῦ, ταύτης δὲ συμπληρουμένης αὖ γεννᾶται ζῷον. ἀλλ' οὗτος ὁ λόγος ἀνάρμοστός ἐστι, διότι ὁ κόσμος ὁλοτελής ἐστι καὶ διηνεκής, καὶ οὐκ ἔπαυσε πώποτε γεννᾶν ζῷα καὶ φυτὰ καὶ πάντα ἀλλοῖα εἴδη. ἐν ἑκάστῳ δὲ εἴδει τῶν φυτῶν ἔστι θερμότης καὶ ὑγρότης φυσική, ἥτις ὁπόταν ἀναλωθείη, ἀσθενοῦσι τὰ φυτὰ καὶ γηράσκουσι καὶ φθίνουσι καὶ ξηραίνονται. καὶ τινὲς μὲν λέγουσι τοῦτο φθοράν, ἄλλοι δ' οὐχί.

3 Τινὰ τῶν φυτῶν ἔχουσί τι ὑγρὸν ὡς ῥητίνην, ὡς κόμι, ὡς σμύρναν, ὡς θυμίαμα καὶ ὡς κόμι Ἀραβικόν. πάλιν τινὰ δένδρα ἔχουσι δεσμοὺς καὶ φλέβας καὶ κοιλίαν καὶ φιτροὺς καὶ φλοιὸν καὶ μυελὸν ἐντός. καὶ τινὰ ὡς ἐπὶ τὸ πλεῖστόν εἰσι φλοιός. καὶ τινῶν μὲν ὁ καρπὸς ὑπὸ τὸν φλοιὸν ἤγουν ἐντὸς τοῦ φλοιοῦ καὶ τοῦ φιτροῦ. καὶ τινὰ μὲν μέρη τοῦ δένδρου εἰσὶν ἁπλᾶ, ὡς ὁ χυμὸς ὁ εὑρισκόμενος ἐν αὐτοῖς καὶ οἱ δεσμοὶ καὶ αἱ φλέβες· τινὰ δέ εἰσι σύνθετα ἐκ τούτων, ὡς κλάδοι καὶ λύγοι καὶ φύλλα. ταῦτα δὲ πάντα οὐχ εὑρίσκομεν ἐν πᾶσι τοῖς φυτοῖς. τινὰ γὰρ

4 *εἰ καὶ*] *καὶ εἰ* malebat Sylburg ‖ 13 *αὖ* Karsten ad Empedoclem p. 422: *οὐ* codd.

τῶν φυτῶν ἔχουσι καὶ ταῦτα καὶ ἄλλα μέρη, λύγους, φύλλα, κλάδους, ἄνθη καὶ βλαστοὺς καὶ φλοιὸν τὸν περικυκλοῦντα τὸν καρπόν. καὶ καθώς εἰσι καὶ ἐν τοῖς ζῴοις μέλη ὁμοιομερῆ, οὕτω καὶ ἐν τοῖς φυτοῖς. καὶ ἕκαστα τῶν μερῶν τοῦ φυτοῦ σύνθετα εἰσὶν ὅμοια μέλεσι ζῴου· ὁ δὲ φλοιὸς τοῦ φυτοῦ ὅμοιός ἐστι φυσικῶς δέρματι ζῴου, οἱ δὲ δεσμοὶ πάλιν ὅμοιοι νεύροις ζῴου. ὁμοίως καὶ τὰ λοιπὰ τὰ ἐν αὐτῷ. καὶ τινὰ μὲν τῶν μερῶν διαιροῦνταί πως διὰ μερῶν ἀνομοίων, τινὰ δὲ δι' ὁμοίων, οἷον ὡς ἐπὶ τοῦ πηλοῦ· οὗτος γὰρ ἑνὶ τρόπῳ διαιρεῖται διὰ τῆς γῆς μόνον, καὶ ἀλλοτρόπως διὰ τῶν στοιχείων. ὡσαύτως ὁ πνεύμων καὶ ἡ σὰρξ διαιροῦνται μὲν πρώτως, καὶ εἰσὶ μέρη τούτων σὰρξ καὶ πνεύμων· ἄλλως δὲ διαιροῦνται καὶ διὰ τῶν στοιχείων. ὁμοίως καὶ αἱ τῶν φυτῶν ῥίζαι. πλὴν οὐ διαιρεῖται καὶ ἡ χεὶρ εἰς ἄλλην χεῖρα, οὐδὲ ἡ ῥίζα εἰς ἄλλην ῥίζαν, οὐδὲ τὰ φύλλα εἰς ἄλλα φύλλα. ἐν ταύταις γοῦν ταῖς ῥίζαις καὶ ἐν αὐτοῖς τοῖς φύλλοις ἐστὶν ἡ σύνθεσις. πάλιν τινὲς μὲν τῶν καρπῶν εἰσὶν ἐκ μερῶν ὀλίγων συγκείμενοι, τινὲς δὲ ἐκ μερῶν πολλῶν, ὡς ἐπὶ τῶν ἐλαιῶν. αὗται γὰρ ἔχουσι φλοιὸν σάρκα καί τι ὀστρακῶδες καὶ σπέρμα καὶ καρπόν. τινὰ δὲ ἔχουσι καὶ περικαλύμματα. πάντα δὲ τὰ σπέρματά εἰσιν ἐκ δύο φλοιῶν. καὶ μέρη μὲν τῶν φυτῶν εἰσὶν ἅπερ εἴπομεν, ἡ δ' ἀκρότης τοῦ παρόντος λόγου ἐστὶ διορίσασθαι ταῦτα τὰ μέρη τῶν φυτῶν, τὰ περικαλύμματα αὐτῶν καὶ τὰς αὐτῶν διαφοράς· ὅπερ ἐστὶ πάνυ δυσχερές, καὶ ἐξαιρέτως τὸ διορίσασθαι τὴν οὐσίαν αὐτῶν καὶ τὸ χρῶμα καὶ τὸν καιρὸν τῆς διαμονῆς αὐτῶν καὶ τὰς συνοχὰς τὰς περιπιπτούσας αὐτοῖς, καὶ ὅτι οὐκ ἔχουσι τὰ φυτὰ ἤθη ψυχῆς, οὐδὲ διάθεσιν ἴσην διαθέσει ψυχῆς. ἐὰν γοῦν κατὰ ἀναλογίαν θῶμεν τὰ μέρη τῆς ψυχῆς μετὰ τῶν μερῶν τοῦ

6 δέρματι Sylburg: στόματι Na ‖ 9 δὲ δι'] δι' Na ‖ 16 γὰρ Na ‖ 21 τινὰ δὲ] τινά τε Na

φυτοῦ, μηκυνθήσεται ὁ λόγος, καὶ τυχὸν οὐδὲ δυνηθείημεν διεξελθεῖν ἂν ταῦτα, μεγάλαις διαφοραῖς ἀπαριθμοῦντες τὰ μέρη τῶν φυτῶν. καὶ γὰρ μέρος ἑκάστου πράγματος ἐκ τοῦ ἰδίου γένους ἐστὶ καὶ ἐκ τῆς ἰδίας οὐσίας. καὶ ὅταν γεννηθῇ τι εἶδος φυτοῦ, μένει ἐν τῇ οἰκείᾳ διαθέσει, ἂν μή τινι χρονικῇ ἀσθενείᾳ καὶ βαρείᾳ τῆς οἰκείας ἐκπέσῃ τοιᾶσδε διαθέσεως. τῶν ἀνθέων τοίνυν καὶ τῶν καρπῶν καὶ τῶν φύλλων τῶν ἐν τοῖς φυτοῖς τινὰ μὲν ἐν παντὶ ἔτει εἰσί, τινὰ δὲ οὐχ οὕτως ἔχει οὐδὲ διαμένουσιν, ὡς ὁ φλοιὸς καί τι σῶμα πῖπτον ἀπὸ πράγματος τοῦ ἀπορρίπτοντος τοῦτο διά τινα αἰτίαν. οὐ μένουσι δὲ ταῦτα ἐν τῷ φυτῷ, ὅτι πολλάκις πίπτουσιν ἐξ αὐτοῦ μέρη τινὰ μὴ διωρισμένα, ὡς τρίχες ἐξ ἀνθρώπων καὶ ὄνυχες. πλὴν γεννῶνται τρίχες ἢ ἐν αὐτοῖς τοῖς μέρεσιν ὅθεν ἐξέπεσον, ἢ ἐκτὸς ἐν ἄλλοις. καὶ ἤδη φανερὸν γέγονεν ὅτι τὰ μέρη τοῦ φυτοῦ οὐκ εἰσὶ διωρισμένα, εἴτε καὶ μή, ἀλλὰ μόνον ἀδιόριστα. ἡμῖν δὲ αἰσχρόν ἐστι λέγειν πράγματά τινα μεθ' ὧν αὐξάνεται τὸ ζῷον καὶ συμπληροῦται μετ' αὐτῶν, μὴ εἶναι μέρη αὐτοῦ, ἀλλ' εἶναι κατὰ τὰ φύλλα καὶ πάντα τὰ τοιαῦτα τὰ ἐν τῷ φυτῷ, κἂν καὶ οὐκ ὦσι διωρισμένα τὰ τοιαῦτα μέρη τοῦ ζῴου, κἂν καὶ κατὰ μικρὸν ἐκπίπτωσιν, ὡς τὰ κέρατα τῆς ἐλάφου καὶ κόμαι τινῶν ζῴων καὶ τρίχες ἄλλων, ἃ δὴ κρύπτουσιν ἑαυτὰ κατὰ τὸν χειμερινὸν καιρὸν ἐν ὀπαῖς καὶ ὑπὸ γῆν πίπτουσι, κἂν καὶ τὸ τοιοῦτον πάθος παρόμοιον ἔχωσι τῇ πτώσει τῶν φυτῶν. ὀφείλομεν οὖν εἰπεῖν περὶ τῶν πραγμάτων ὧν πρότερον ἱστορήσαμεν, καὶ ἄρξασθαι ἀπαριθμεῖν τὰ ἴδια μέρη τῶν φυτῶν καὶ τὰ κοινὰ καὶ τὰς τούτων διαφοράς. λέγομεν τοίνυν ὡς ἐπὶ τοῖς μέρεσι τῶν φυτῶν ἐστὶ μεγάλη διαφορὰ ἐν τῷ πλήθει καὶ ἐν τῇ ὀλιγότητι, ἐν τῷ μεγέθει καὶ ἐν τῇ σμικρότητι, ἐν τῇ δυνάμει καὶ ἐν τῇ ἀσθενείᾳ. τοῦτο

8 τοῖς om. *N*a ‖ 16 ante *εἴτε καὶ μὴ* aliquid intercidisse videtur: 'sive sint partes plantae, sive non' Alfredus ‖ 18 αὐτῶν *N*a ‖

πάλιν σπέρμα ἂν ἀσθενὲς γένηται, ἐκλείπει τὸ γενέσθαι καλὰ αὐτά, ὡς αἱ πεῦκαι καὶ οἱ φοίνικες. οὐ προέρχονται δὲ ῥᾳδίως ἐκ σπέρματος κακοῦ καλὰ δένδρα, οὐδὲ ἐκ σπέρματος ἀγαθοῦ κακὰ δένδρα. τὸ δὲ ἐκ πονηροῦ γενέσθαι ἀγαθόν, καὶ τὸ ἐναντίον, ἐν τοῖς ζῴοις πολλάκις εὑρίσκεται. πάλιν δένδρον τὸ ἔχον σκληρὸν λίαν τὸν φλοιὸν στεῖρον ἀποκαθίσταται· ἐὰν δὲ σχισθῇ ἡ ῥίζα αὐτοῦ καὶ τῇ σχισμῇ λίθος ἐμβληθῇ, εὔφορον γίνεται. ἐν δὲ τοῖς φοίνιξιν ἂν φύλλα ἢ ψῆνες ἢ φλοιὸς τοῦ ἄρρενος φοίνικος τοῖς φύλλοις τοῦ θήλεος συντεθείη, ἵνα πως συναφθῶσι, ταχέως πεπαίνονται οἱ καρποί, κωλύεται δὲ καὶ ἡ πτῶσις αὐτῶν. διακρίνεται δὲ ὁ ἄρρην ἀπὸ τοῦ θήλεος, ὅτι πρώτως βλαστάνουσι τὰ τούτου φύλλα, ἃ εἰσι παρὰ τὰ τοῦ θήλεος μικρότερα· ἀλλὰ καὶ διὰ τῆς εὐωδίας. ἀλλαχοῦ δὲ ἔκ τινος τούτων ἢ ἐκ πάντων συμβαίνει. τυχὸν δὲ καὶ εἰ ἐκ τῆς εὐωδίας τοῦ ἄρρενος ἐπαγάγῃ τι ἄνεμος πρὸς τὸν θῆλυν, πεπαίνονται καὶ οὕτως οἱ καρποί, ὥσπερ ὁπόταν τὰ φύλλα τοῦ ἄρρενος τῷ θήλει ἀπαιωρῶνται. συκαῖ ὡσαύτως ἄγριαι εἰς τὴν γῆν ἐξαπλωθεῖσαι συμβάλλονται τὰ πολλὰ ταῖς κηπαίαις συκαῖς. τὰ βαλαύστια ταῖς ἐλαίαις συμβάλλουσιν, ὅταν ὁμοῦ φυτεύωνται.

7 Πάλιν τῶν φυτῶν τινὰ μεταλλάττονται, ὡς φασίν, εἰς ἄλλο εἶδος, ὡς ἡ καρύα, ὅταν γηράσῃ. λέγουσι πάλιν ὡς ἡ καλαμίνθη μεταβάλλεται εἰς ἡδύοσμον· καὶ τὸ τράγιον δὲ τμηθὲν καὶ φυτευθὲν παρὰ τὴν θάλασσαν τυχὸν ἔσται σισύμβριον. φασὶ πάλιν ὡς ὁ σῖτος καὶ τὸ λίνον μεταβάλλονται εἰς ἕτερον εἶδος. βελένιον δὲ τὸ δηλητηριῶδες, τὸ γινόμενον ἐν τῇ Περσίδι, μεταφυτευόμενον ἐν Αἰγύπτῳ ἢ ἐν Παλαιστίνῃ γίνεται βρώσιμον. ὡσαύτως ἀμυγδαλῆ καὶ ῥοιὰ μεταβάλλονται ἀπὸ τῆς ἰδίας κακίας διὰ γεηπονίαν εἰς τὸ χρηστότερον. ἀλλ' αἱ ῥοιαὶ μὲν χοιρείας κόπρου ἐμ-

2 προέρχεται N^a ‖ 3 οὐδὲ — 4 δένδρα om. N^a ‖ 28 περσία N^a ‖ 30 γεοπονίαν N^a

βεβλημένης ταῖς ῥίζαις, καὶ δι' ὕδατος γλυκέος καὶ ψυχροῦ ποτιζόμεναι βελτιοῦνται· ἀμυγδαλαῖ δὲ ἥλων ἐμπηγνυμένων αὐταῖς, καὶ κόμεος διὰ πολλοῦ καιροῦ ἐντεῦθεν ἐκβαλλομένου. πολλὰ δὲ φυτὰ ἄγρια διὰ ταύτης τῆς ἐπιτεχνήσεως γίνονται κηπαῖα. τόπος δὲ καὶ γεηπονία σφόδρα τούτοις συμβάλλονται, καὶ μᾶλλον ὁ τοῦ ἔτους καιρός, οὗ χρήζουσι μᾶλλον οἱ φυτευταί. πάλιν τῶν φυτῶν τὰ πλείονα φυτεύονται ἐν ἔαρι, ὀλίγα ἐν χειμῶνι καὶ φθινοπώρῳ, καὶ ὀλίγιστα ἐν θέρει μετὰ τὴν ἐπιτολὴν τοῦ κυνάστρου. ἐν ὀλίγοις δὲ τόποις γίνεται ἡ τοιαύτη φυτεία, καὶ οὐδέποτε γίνεται εἰ μὴ ἀραιός, ὡς ἐν τῇ Ῥώμῃ, κατὰ τήνδε τὴν ὥραν. ἐν Αἰγύπτῳ δὲ οὐ γίνεται ἡ φυτεία εἰ μὴ ἅπαξ τοῦ ἐνιαυτοῦ. πάλιν τινὰ τῶν φυτῶν ἐκ τῶν οἰκείων ῥιζῶν φύλλα προβάλλονται, τινὰ ἐκ τῶν οἰκείων κόμεων ἢ ἐκ τῶν οἰκείων ξύλων. καὶ τινὰ μὲν πλησίον τῆς γῆς, τινὰ δὲ πόρρω, τινὰ ἐν μέσῳ. καὶ τινὰ μὲν ἅπαξ τοῦ ἐνιαυτοῦ καρποφοροῦσι, τινὰ δὲ πλειστάκις, ἀλλ' οὐ πεπαίνονται οἱ καρποὶ αὐτῶν, ἀπομένουσι δὲ ὠμοί. καὶ τινὰ δένδρα εἰσὶν εὔφορα διὰ πολλῶν χρόνων, ὡς αἱ συκαῖ· τινὰ ἐν ἑνὶ καρποφοροῦσιν ἔτει, ἐν δὲ τῷ ἑτέρῳ ἀνακτῶνται ἑαυτά, ὡς αἱ ἐλαῖαι πολλοὺς κλάδους προβαλλόμεναι, οἷς καὶ περικαλύπτονται. καὶ τινὰ μὲν τῶν φυτῶν εὐφορώτερά εἰσιν ἐν γήρᾳ, τινὰ δὲ ἐκ τοῦ ἐναντίου μᾶλλον καρποφοροῦσιν ἐν νεότητι, ὡς ἀμυγδαλαῖ καὶ ὄχναι καὶ αἴγειροι. ἡ διαφορὰ δὲ τῶν φυτῶν τῶν ἀγρίων καὶ τῶν κηπαίων διακρίνεται δι' ἀῤῥένων καὶ θηλέων, ὁπόταν ἕκαστον αὐτῶν γνωρισθείη διὰ τῶν ἰδιωμάτων τῶν εὑρισκομένων ἐν αὐτοῖς, ὅτι τὸ μὲν ἄῤῥεν ἐστὶ πυκνότερον σκληρότερον καὶ πολυκλονώτερον, ἧττον ὑγρόν, καὶ ταχύτερον εἰς πέπανσιν, καὶ φύλλα ἔχον διάφορα καὶ παραφυάδας. τὸ δὲ θῆλυ ἐπ' ἔλαττον ἔχει ταῦτα. δεῖ

2 πιεζίμεναι N^a ‖ 3 κόμεως N^a ‖ 5 πηγονία N^a ‖ 11 ἀραιός, ὡς] ἀραιῶς Bussemaker e Parisino ‖ 20 αἱ om. N^a ‖ πολλοὺς δὲ κλ. N^a ‖ 28 πολυκλωνότερον N^a

ξηραίνονται, ὡς σῖτος καὶ τὰ παραπλήσια, τινὰ δ' οὔ. οὐ δυνάμεθα δὲ ταῦτα πάντα ἐπίστασθαι εἰ μὴ διὰ συλλογισμῶν καὶ παραδειγμάτων καὶ ὑπογραφῶν. πάλιν εἰσὶ βοτάναι εἰς δύο ἄκρα κλίνουσαι, ὡς τὸ λεγόμενον λάχανον βασιλικόν. εἰσὶ δὲ ἄλλαι αἱ λεγόμεναι ἐν ταὐτῷ βοτάναι καὶ λάχανα· καί τινες ἄλλαι αἳ ἐν τῷ γεννᾶσθαι μὲν πρώτως φαίνονται ἐν σχήματι στάχυος, μετὰ ταῦτα δὲ γίνονται δένδρα, ὡς οἱ Ἀραβικοὶ βέντελοι καὶ τὸ φυτὸν τὸ λεγόμενον ἡλιοσκόπιον. μυρσίνη δὲ καὶ μηλέα καὶ ὄχνη καὶ τὰ λοιπὰ ὅμοια δένδρα εἰς τοῦτο τὸ γένος περιέχονται, ὧν πολλοὶ καὶ μάταιοί εἰσι κλάδοι, ἐκ τῶν ῥιζῶν αὐτῶν φυόμενοι. καὶ διὰ τοῦτο πρέπον προσδιορίζειν ταῦτα, ἵνα ὦσιν εἰς παράδειγμα καὶ συλλογισμόν· οὐ γὰρ ὀφείλομεν διερευνᾶν ὁρισμοὺς ἐν πᾶσι. πάλιν τῶν φυτῶν τὰ μέν εἰσι κατοικίδια, τὰ δὲ κηπαῖα, καὶ ἕτερα ἄγρια. τοιουτοτρόπως δὲ λέγομεν ὄχνας καὶ ἄλλα τοιαῦτα εἴδη φυτῶν ἄγρια, ὅτι οὐκ εἰσὶν ἐξ ἐπιμελείας γεωργικῆς. πάλιν τῶν φυτῶν τινὰ μὲν ποιοῦσι καρπόν, τινὰ δ' οὔ, ὡς ἰτέαι καί τινα εἴδη δρυῶν. καὶ τινὰ μὲν ποιοῦσιν ἔλαιον, τινὰ δ' οὐχί. καὶ τινὰ μὲν ποιοῦσι φύλλα, τινὰ δ' οὔ. καὶ τινῶν πίπτουσι τὰ φύλλα, τινῶν δ' οὔ. καὶ τισὶ μὲν γίνονται κλάδοι, τισὶ δ' οὔ. περὶ διαφορᾶς γοῦν τῶν φυτῶν ἐν μεγέθει καὶ σμικρότητι, ἐν ὡραιότητι καὶ ἀμορφίᾳ, ἐν χρηστότητι καρπῶν καὶ κακίᾳ πολλὰ ἔστιν εἰπεῖν. πάλιν τὰ ἄγρια δένδρα μᾶλλον καρποφοροῦσι παρὰ τὰ κηπαῖα, καὶ οἱ καρποὶ τῶν κηπαίων κρείττονές εἰσι τῶν ἀγρίων. καὶ τινὰ μὲν τῶν φυτῶν γεννῶνται ἐν τόποις ξηροῖς, τινὰ δὲ ἐν θαλάσσῃ· καὶ τινὰ μὲν ἐν ποταμοῖς, ἄλλα δὲ ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ· καὶ τινὰ ἐν τόποις μὲν ἄλλοις μεγάλα, ἐν ἑτέροις δὲ μικρά. καὶ τινὰ μὲν γεννῶνται ἐν ὄχθαις ποταμῶν, τινὰ δὲ ἐν λίμναις. καὶ 82 τῶν γεννωμένων ἐν τόποις ξηροῖς τινὰ μὲν γεννῶνται ἐν

8 *ἡλιοσκόπον* Bussemaker e Parisino

ὄρεσι, τινὰ δὲ ἐν πεδιάσι. καὶ τινὰ ζῶσιν ἐν τόποις ξηροτάτοις, ὡς τὰ ἐν τῇ γῇ τῶν *Αἰθιόπων*, καὶ ἐκεῖσε κρειττόνως αὐξάνουσι παρὸ ἀλλαχοῦ. καὶ τινὰ μὲν ζῶσιν ἐν τόποις ὑψηλοῖς, τινὰ δὲ ἐν χθαμαλοῖς. καὶ τινὰ μὲν ζῶσιν ἐν τόποις ὑγροῖς, τινὰ δὲ ἐν ξηροῖς, τινὰ δὲ ἐν ἑκατέροις, ὡς ἡ ἰτέα. τὰ γοῦν φυτὰ κατὰ πολὺ ἐναλλάττονται τῇ διαφορᾷ τῶν τόπων, καὶ ἐντεῦθεν χρὴ κατανοεῖν καὶ τὰς διαφορὰς αὐτῶν.

Πάλιν τῶν φυτῶν τινὰ μὲν τῇ γῇ πεπήγασι καὶ οὐ φιλοῦσι χωρίζεσθαι ἀπ᾽ αὐτῆς· τινὰ δὲ ἐν τόποις κρείττοσι μετατίθενται. ὁμοίως τινὲς τῶν καρπῶν κρείττονές εἰσιν ἐν τῷδε τῷ τόπῳ παρὸ ἐν ἑτέρῳ. καὶ τινῶν μὲν φυτῶν τὰ φύλλα σκληρά εἰσι, τινῶν δὲ λεῖα· καὶ τινῶν μὲν ἐσχισμένα, ὡς τὰ τῶν ἀμπέλων καὶ τῶν συκῶν, τινῶν δ᾽ οὔ· ἑτέρων δὲ κατὰ πολὺ ἐσχισμένα, ὡς τὰ τῆς πεύκης. τινὰ δὲ φυτά εἰσιν ὅλως φλοιὸς μεσιτεύων. καὶ τινὰ ἔχουσι δεσμούς, ὡς οἱ κάλαμοι, τινὰ δ᾽ οὔ. καὶ τινὰ ἔχουσιν ἀκάνθας, ὡς αἱ ῥάμνοι, τινὰ δὲ ἐστέρηνται ἀκανθῶν. καὶ τινὰ ἔχουσι πολλοὺς κλάδους, ὡς ἡ ἀγρία μορέα, τινὰ δ᾽ οὔ. καὶ τινὰ μὲν ἔχουσι διαφορὰς ἄλλας ἐξ ὧν προβαίνουσι παραφυάδες καὶ ἐξ ὧν οὐχί· τοῦτο δὲ οὐκ ἄλλοθέν ἐστιν εἰ μὴ ἐκ τῆς διαφορᾶς τῶν ῥιζῶν. τινὰ δὲ ἔχουσι μίαν ῥίζαν, ὡς ἡ σκίλλα· αὕτη δὲ γεννᾶται ἐκ τοῦ ἐδάφους, καὶ ἀραιῶς πρόεισιν, ὅτι ὑποκάτω πλατύνεται, καὶ ἀκολουθοῦσα μᾶλλον διακρίνεται τῷ ἡλίῳ· ὅταν γὰρ προσβάλλῃ αὐτῇ, αὐξάνει. οὗτος δὲ ταύτης καὶ τὰς παραφυάδας κάτωθεν ἐκμυζᾷ. πάλιν τῶν χυλῶν τῶν ἐν τοῖς καρποῖς οἱ μὲν

1 *πεδιάδι* Bussemaker e Parisino ‖ 11 *μετατίθεται* N^{a} ‖ 15 *ἑτέρων — πεύκης* quaedam aut omissa aut male intellecta videntur ab interprete graeco: 'et quaedam habent unum corticem, ut ficus, quaedam multos, ut pineae' Alfredus ‖ 19 *μορία* N^{a} ‖ *καὶ τινὰ δ᾽* N^{a} ‖ 23 *ἐκ τοῦ ἐδάφους καὶ ἀραιῶς πρόεισιν*: 'in solo ramo proceditque' Alfredus. Legit igitur noster 'raro' pro 'ramo'

ζῴοις· ἡ γὰρ ὕλη ἐν τοῖς ζῴοις ἐστὶ καθ' ἑαυτὴν καὶ διῃρημένη. οὐκ ἔστι δὲ οὐδὲ ἡ πέψις εἰ μὴ ἐν χρήσει μάλιστα καὶ αὕτη. ἡ ὕλη δὲ τοῦ φυτοῦ τούτῳ ἐστὶ πλησίον, καὶ διὰ τοῦτο ὀξυτέρα ἐστὶν ἡ τούτου γένεσις. γεννᾶται δὲ καὶ αὐξάνει καὶ ὅπερ μᾶλλόν ἐστι λεπτὸν ἐν αὐτῷ, παρὰ τὸ πυκνόν. τὸ γὰρ πυκνὸν πολυτρόπων δεῖται δυνάμεων διά τε τὴν διαφορὰν τοῦ οἰκείου σχήματος καὶ διὰ τὸ μῆκος τῶν μερῶν αὐτοῦ πρὸς ἄλληλα. κἀντεῦθεν ὀξυτέρα καὶ φυτοῦ γένεσις, διὰ τὴν λεπτότητα ἑτέρου πρὸς ἕτερον, καὶ ταχυτέρα ἡ τελείωσις. τὰ μέρη τῶν φυτῶν ὡς ἐπὶ τὸ πλεῖστόν εἰσιν ἀραιά, ὅτι ἡ θερμότης αὐτῶν τὴν ὑγρότητα πρὸς τὰ ἄκρα τῶν φυτῶν ἐφέλκεται. διασπείρεταί τε ἡ ὕλη ἡ θρεπτικὴ εἰς ὅλα τὰ μέρη αὐτῶν· ὃ δὲ περιττεύει, ἐκχεῖται. ὥσπερ δὲ ἐν τοῖς βαλανείοις ἡ θερμότης τὴν ὑγρότητα ἐφέλκεται καὶ ταύτην εἰς ἀτμίδα μεταστρέφει, αὕτη δὲ κουφιζομένη, ὁπόταν περιττεύσῃ, μεταβάλλεται εἰς σταγόνας, οὕτως καὶ ἐν τοῖς ζῴοις καὶ ἐν τοῖς φυτοῖς τὰ περιττώματα ἀναβαίνουσιν ἀπὸ τῶν κατωτέρων εἰς τὰ ἀνώτερα, καὶ καταβαίνουσιν ἀπὸ τῶν ἀνωτέρων εἰς τὰ κατώτερα. τοιουτοτρόπως δὲ καὶ οἱ ποταμοὶ οἱ ὑπὸ τὴν γῆν γεννῶνται ἀπὸ τῶν ὀρέων. ὕλη γὰρ αὐτῶν εἰσὶν οἱ ὑετοί· καὶ ὅταν πληθυνθῶσι τὰ ὕδατα καὶ στενοχωρῶνται ἐντός, γίνεται ἐκ τούτων ἀτμὶς περιττή, ἥτις διὰ τὸν ἐντὸς συμπιεσμὸν σχίζει τὴν γῆν· καὶ οὕτω φαίνονται πηγαὶ καὶ ποταμοὶ οἱ πρότερον μὴ φαινόμενοι ἀλλ' ἐγκεκρυμμένοι τυγχάνοντες.

2 Ἐκτεθείκαμεν δὲ αἰτίας περὶ τῆς γενέσεως τῶν πηγῶν καὶ τῶν ποταμῶν ἐν τῷ ἡμετέρῳ βιβλίῳ τῷ περὶ μετεώρων, ἐν ᾧ εἴπομεν καὶ περὶ σεισμῶν ὅτι πολλάκις δεικνύουσιν οὗτοι πηγὰς καὶ ποταμούς, οἳ πρότερον οὐκ ἐφαίνοντο, οἷον

5 καὶ αὐξάνει ὅπερ ἐστὶ λεπτὸν ἐν αὐτῷ, μᾶλλον παρὰ τὸ πυκνόν malebat Sylburg ‖ παρὸ Na ‖ 7 φορὰν Na ‖ 11 αὐτοῦ τὰ om. Na ‖ 18 καὶ κ. — 19 κατώτερα om. Na ‖ 27 τῷ om. Na ‖ Meteorol. 365b 1 sqq.

ὅτε σχίζεται ἡ γῆ ἐκ τῆς ἀναθυμιάσεως. πολλάκις δὲ εὑρίσκομεν ὅτι καὶ πηγαὶ καὶ ποταμοὶ συζεύγνυνται, ὅτε γίνεται σεισμός. τοῦτο δὲ τῷ φυτῷ οὐ συμβαίνει, ὅτι ἀὴρ ἐν τῇ ἀραιότητι τῶν μερῶν αὐτοῦ ἐστί, καὶ τοῦδε πάλιν σημεῖον, ὅτι σεισμὸς οὐδὲ ἐν τοῖς τόποις τοῖς ψαμμώδεσι πέφυκε γίνεσθαι, ἀλλ' ἐν τόποις πυκνοῖς καὶ σκληροῖς, ὁποῖοί εἰσιν οἱ τῶν ὑδάτων καὶ τῶν ὀρέων. καὶ γὰρ συμβαίνει σεισμὸς ἐν τοῖς τόποις τούτοις, ὅτι τὸ ὕδωρ ἐστὶ στερρὸν καὶ οἱ λίθοι στερροί· τῇ φύσει δὲ τοῦ ἀέρος τοῦ θερμοῦ καὶ ξηροῦ ἔνεστι τὸ ἀναβαίνειν ἐκ τῆς κουφότητος. ὅτε γοῦν συνέλθωσι τὰ μέρη αὐτοῦ καὶ κατακυριεύσωσι, συνωθοῦσι τὸν τόπον, καὶ ἐντεῦθεν ἐξέρχεται ἀπ' αὐτοῦ βιαία ἀναθυμίασις. ἐὰν δὲ ὁ τόπος ἦν ἀραιός, οὐκ ἂν ἐξήρχετο οὕτως, ἀλλ' ὡς ἐπὶ τῆς ψάμμου συμβαίνει. ἐξέρχεται γὰρ καὶ ἐντεῦθεν ἀναθυμίασις, ἀλλὰ κατὰ βραχύ· καὶ διὰ τοῦτο οὐ γίνεται σεισμός. ἁπλῶς οὖν ἐν τοῖς στερεοῖς πᾶσι τοῦτο οὐ συμβαίνει, λέγω τὸ κατὰ βραχὺ τὸν ἀέρα ἐξέρχεσθαι. συναγόμενα γὰρ τὰ μέρη τούτου δύνανται τὴν γῆν σχίζειν, καὶ τοῦτο ἐστὶν αἰτία τοῦ σεισμοῦ ἐν σώμασι στερεοῖς. ἐν τοῖς μέρεσι δὲ τῶν φυτῶν καὶ τῶν ζῴων σεισμὸς οὐ γίνεται, ἀλλ' ἐν ἄλλοις πᾶσι, καὶ πλειστάκις ἔν τε τοῖς ὀστρακώδεσι καὶ ἐν ὑέλῳ καὶ λοιποῖς μετάλλοις. ἐν ᾧ γὰρ σώματί ἐστι πολλὴ ἀραιότης, ἔθος καὶ τὴν ἀναθυμίασιν ἀναβαίνειν· ὑποκουφίζει γὰρ αὐτὴν ὁ ἀήρ. καὶ συχνάκις τοῦτο βλέπομεν, ὅταν βάλλωμεν χρυσὸν εἰς τὸ ὕδωρ ἢ ἄλλο τι βαρύ, καὶ παραυτίκα βυθίζεται· καὶ πάλιν ὅταν βάλλωμεν ξύλον ἀραιὸν ἢ βραχύ, καὶ ἐπιπλέει καὶ οὐ βυθίζεται. ὅθεν οὐ διὰ τὰ φύλλα οὐ καταδύεται τὸ καταδυόμενον πολλάκις ξύλον, οὐδὲ διὰ τὸ ὑποκείμενον τὸ βαρύ, ἀλλ' ὅτι τὸ μέν ἐστι στερρὸν καὶ πυκνόν,

2 συζεύγνυνται: 'submergi' Alfredus. cf. 824ª 22 διαζεύγνυνται eodem sensu ‖ 5 οὐδὲ σεισμὸς N^a Parisinus ‖ 10 ὅτε] ὅταν Bussemaker e Parisino ‖ 21 ἐν om. N^a ‖ 25 τὸ om. N^a

ξηραίνονται, ὡς σῖτος καὶ τὰ παραπλήσια, τινὰ δ' οὔ. οὐ δυνάμεθα δὲ ταῦτα πάντα ἐπίστασθαι εἰ μὴ διὰ συλλογισμῶν καὶ παραδειγμάτων καὶ ὑπογραφῶν. πάλιν εἰσὶ βοτάναι εἰς δύο ἄκρα κλίνουσαι, ὡς τὸ λεγόμενον λάχανον βασιλικόν. εἰσὶ δὲ ἄλλαι αἱ λεγόμεναι ἐν ταὐτῷ βοτάναι καὶ λάχανα· καί τινες ἄλλαι αἳ ἐν τῷ γεννᾶσθαι μὲν πρώτως φαίνονται ἐν σχήματι στάχυος, μετὰ ταῦτα δὲ γίνονται δένδρα, ὡς οἱ Ἀραβικοὶ βέντελοι καὶ τὸ φυτὸν τὸ λεγόμενον ἡλιοσκόπιον. μυρσίνη δὲ καὶ μηλέα καὶ ὄχνη καὶ τὰ λοιπὰ ὅμοια δένδρα εἰς τοῦτο τὸ γένος περιέχονται, ὧν πολλοὶ καὶ μάταιοί εἰσι κλάδοι, ἐκ τῶν ῥιζῶν αὐτῶν φυόμενοι. καὶ διὰ τοῦτο πρέπον προσδιορίζειν ταῦτα, ἵνα ὦσιν εἰς παράδειγμα καὶ συλλογισμόν· οὐ γὰρ ὀφείλομεν διερευνᾶν ὁρισμοὺς ἐν πᾶσι. πάλιν τῶν φυτῶν τὰ μέν εἰσι κατοικίδια, τὰ δὲ κηπαῖα, καὶ ἕτερα ἄγρια. τοιουτοτρόπως δὲ λέγομεν ὄχνας καὶ ἄλλα τοιαῦτα εἴδη φυτῶν ἄγρια, ὅτι οὐκ εἰσὶν ἐξ ἐπιμελείας γεωργικῆς. πάλιν τῶν φυτῶν τινὰ μὲν ποιοῦσι καρπόν, τινὰ δ' οὔ, ὡς ἰτέαι καί τινα εἴδη δρυῶν. καὶ τινὰ μὲν ποιοῦσιν ἔλαιον, τινὰ δ' οὐχί. καὶ τινὰ μὲν ποιοῦσι φύλλα, τινὰ δ' οὔ. καὶ τινῶν πίπτουσι τὰ φύλλα, τινῶν δ' οὔ. καὶ τισὶ μὲν γίνονται κλάδοι, τισὶ δ' οὔ. περὶ διαφορᾶς γοῦν τῶν φυτῶν ἐν μεγέθει καὶ σμικρότητι, ἐν ὡραιότητι καὶ ἀμορφίᾳ, ἐν χρηστότητι καρπῶν καὶ κακίᾳ πολλὰ ἔστιν εἰπεῖν. πάλιν τὰ ἄγρια δένδρα μᾶλλον καρποφοροῦσι παρὰ τὰ κηπαῖα, καὶ οἱ καρποὶ τῶν κηπαίων κρείττονές εἰσι τῶν ἀγρίων. καὶ τινὰ μὲν τῶν φυτῶν γεννῶνται ἐν τόποις ξηροῖς, τινὰ δὲ ἐν θαλάσσῃ· καὶ τινὰ μὲν ἐν ποταμοῖς, ἄλλα δὲ ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ· καὶ τινὰ ἐν τόποις μὲν ἄλλοις μεγάλα, ἐν ἑτέροις δὲ μικρά. καὶ τινὰ μὲν γεννῶνται ἐν ὄχθαις ποταμῶν, τινὰ δὲ ἐν λίμναις. καὶ τῶν γεννωμένων ἐν τόποις ξηροῖς τινὰ μὲν γεννῶνται ἐν

8 ἡλιοσκόπον Bussemaker e Parisino

ὄρεσι, τινὰ δὲ ἐν πεδιάσι. καὶ τινὰ ζῶσιν ἐν τόποις ξηροτάτοις, ὡς τὰ ἐν τῇ γῇ τῶν Αἰθιόπων, καὶ ἐκεῖσε κρειττόνως αὐξάνουσι παρὸ ἀλλαχοῦ. καὶ τινὰ μὲν ζῶσιν ἐν τόποις ὑψηλοῖς, τινὰ δὲ ἐν χθαμαλοῖς. καὶ τινὰ μὲν ζῶσιν ἐν τόποις ὑγροῖς, τινὰ δὲ ἐν ξηροῖς, τινὰ δὲ ἐν ἑκατέροις, ὡς ἡ ἰτέα. τὰ γοῦν φυτὰ κατὰ πολὺ ἐναλλάττονται τῇ διαφορᾷ τῶν τόπων, καὶ ἐντεῦθεν χρὴ κατανοεῖν καὶ τὰς διαφορὰς αὐτῶν.

Πάλιν τῶν φυτῶν τινὰ μὲν τῇ γῇ πεπήγασι καὶ οὐ φιλοῦσι χωρίζεσθαι ἀπ᾽ αὐτῆς· τινὰ δὲ ἐν τόποις κρείττοσι μετατίθενται. ὁμοίως τινὲς τῶν καρπῶν κρείττονές εἰσιν ἐν τῷδε τῷ τόπῳ παρὸ ἐν ἑτέρῳ. καὶ τινῶν μὲν φυτῶν τὰ φύλλα σκληρά εἰσι, τινῶν δὲ λεῖα· καὶ τινῶν μὲν ἐσχισμένα, ὡς τὰ τῶν ἀμπέλων καὶ τῶν συκῶν, τινῶν δ᾽ οὔ· ἑτέρων δὲ κατὰ πολὺ ἐσχισμένα, ὡς τὰ τῆς πεύκης. τινὰ δὲ φυτά εἰσιν ὅλως φλοιὸς μεσιτεύων. καὶ τινὰ ἔχουσι δεσμούς, ὡς οἱ κάλαμοι, τινὰ δ᾽ οὔ. καὶ τινὰ ἔχουσιν ἀκάνθας, ὡς αἱ ῥάμνοι, τινὰ δὲ ἐστέρηνται ἀκανθῶν. καὶ τινὰ ἔχουσι πολλοὺς κλάδους, ὡς ἡ ἀγρία μορέα, τινὰ δ᾽ οὔ. καὶ τινὰ μὲν ἔχουσι διαφορὰς ἄλλας ἐξ ὧν προβαίνουσι παραφυάδες καὶ ἐξ ὧν οὐχί· τοῦτο δὲ οὐκ ἄλλοθέν ἐστιν εἰ μὴ ἐκ τῆς διαφορᾶς τῶν ῥιζῶν. τινὰ δὲ ἔχουσι μίαν ῥίζαν, ὡς ἡ σκίλλα· αὕτη δὲ γεννᾶται ἐκ τοῦ ἐδάφους, καὶ ἀραιῶς πρόεισιν, ὅτι ὑποκάτω πλατύνεται, καὶ ἀκολουθοῦσα μᾶλλον διακρίνεται τῷ ἡλίῳ· ὅταν γὰρ προσβάλλῃ αὐτῇ, αὐξάνει. οὗτος δὲ ταύτης καὶ τὰς παραφυάδας κάτωθεν ἐκμυζᾷ. πάλιν τῶν χυλῶν τῶν ἐν τοῖς καρποῖς οἱ μὲν

1 *πεδιάδι* Bussemaker e Parisino ‖ 11 *μετατίθεται* *N*a ‖ 15 *ἑτέρων — πεύκης* quaedam aut omissa aut male intellecta videntur ab interprete graeco: 'et quaedam habent unum corticem, ut ficus, quaedam multos, ut pineae' Alfredus ‖ 19 *μορία* *N*a ‖ *καὶ τινὰ δ᾽* *N*a ‖ 23 *ἐκ τοῦ ἐδάφους καὶ ἀραιῶς πρόεισιν*: 'in solo ramo proceditque' Alfredus. Legit igitur noster 'raro' pro 'ramo'

εἰσι ποτοί, οἱ δὲ οὐ ποτοί· καὶ ποτοὶ μὲν οἱ τῶν σταφυλῶν καὶ τῶν ῥοιῶν καὶ λοιπῶν ἄλλων πολλῶν, ἄποτοι δὲ ἄλλων φυτῶν. καὶ τινῶν μέν εἰσι λιπαροί, ὡς οἱ τῆς ἐλαίας, τῆς πεύκης καὶ τῆς καρύας, τινῶν δ' οὔ. καὶ τινῶν μὲν γλυκεῖς καὶ μελιηδεῖς, ὡς τῶν φοινίκων καὶ τῶν συκῶν· καὶ τινῶν μὲν θερμοὶ καὶ δριμεῖς, ὡς τοῦ ὀριγάνου καὶ τοῦ σινήπιος, τινῶν δὲ πικροί, ὡς τοῦ ἀψινθίου καὶ τῆς κενταυρέας. πάλιν τῶν καρπῶν οἱ μέν εἰσι σύνθετοι ἐκ σαρκῶν καὶ κόκκων καὶ λεμμάτων, ὡς οἱ σικυοί, τινὲς δὲ ἐκ χυμοῦ καὶ κόκκων, ὡς αἱ ῥοιαί. καὶ τινὰ μὲν τοὺς φλοιοὺς ἔχουσιν ἐκτός, τὴν δὲ σάρκα ἐντός, τινὰ δὲ τὸ ὀστοῦν ἐντὸς καὶ τὴν σάρκα ἐκτός. τινὰ δέ εἰσιν ἐν οἷς παραυτίκα γίνεται τὸ σπέρμα καὶ τὸ περικάλυμμα ᾧ περικαλύπτονται, ὡς οἱ καρποὶ τῶν φοινίκων καὶ τῶν ἀμυγδαλῶν· τινῶν δ' οὐχί. καὶ τινὲς καρποί εἰσι βρώσιμοι καὶ κατὰ συμβεβηκὸς ἄβρωτοι· καὶ τινὲς καρποὶ ἡμῖν μὲν ἄβρωτοι, ἄλλοις δὲ βρώσιμοι, ὡς ὁ ὑοσκύαμος καὶ ὁ ἐλλέβορος ἀνθρώποις μὲν δηλητήριον, τροφὴ δὲ τοῖς ὄρτυξι. πάλιν τινὲς τῶν καρπῶν εἰσὶν ἐν θήκαις, ὡς οἱ κόκκοι τοῦ κυάμου· τινὲς ἐν περικαλύμματι καὶ ἐν λέμματι οἷον ὑφάσματί τινι, ὡς ἐν σίτῳ εὑρίσκεται καὶ τοῖς λοιποῖς. καὶ τινὲς μὲν ἐν σαρκί εἰσιν, ὡς οἱ τῶν φοινίκων καρποί, τινὲς δὲ οἷον ἐν οἰκίσκοις, ὡς αἱ βάλανοι, ἄλλοι δ' ἐν οἰκίσκοις πολλοῖς καὶ λέμμασι καὶ ὀστράκοις, ὡς τὰ κάρυα. καὶ τινὲς μὲν ὀξέως πεπαίνονται, ὡς οἱ καρποὶ τῆς μορέας καὶ τῆς κεράσου, τινὲς δὲ βραδέως, ὡς πάντες οἱ καρποὶ οἱ ἄγριοι ἢ οἱ πλείονες αὐτῶν. καὶ τινὰ μὲν φυτὰ ὀξέως προάγουσι φύλλα καὶ καρπούς, τινὰ δὲ βραδέως· καὶ τούτων τινὰ τῷ χειμῶνι ἀκολουθοῦσι, πρὶν ἂν πεπανθῶσι. καὶ πάλιν τὰ χρώματα τῶν φύλλων καὶ τῶν καρπῶν καὶ τῶν οἷον ἐπ' αὐτοῖς ὑφασμάτων λίαν εἰσὶ διά-

13 περικαλύπτεται Bussemaker e Parisino ‖ 23 καὶ ἐν λ. N^a ‖ 25 μορίας N^a, et p. 21, 23 μορία

φορα· τινὰ γὰρ τῶν φυτῶν ἐν τῇ οἰκείᾳ ὁλότητι εἰσὶ χλοάζοντα, καὶ τινὰ μὲν ἐκκλίνουσιν εἰς μελανίαν, τινὰ δὲ εἰς λευκότητα, καὶ τινὰ εἰς ἐρυθρότητα διὰ τὴν θερμότητα τὴν ἐκκαίουσαν τὸν ἀέρα τὸν κεκραμένον μετὰ τοῦ προσγείου. πάλιν τὰ σχήματα τῶν καρπῶν, εἰ εἰσὶν ἄγρια, καὶ διαφόρων εἰσὶ θέσεων· οὐδὲ γὰρ πάντες οἱ καρποί εἰσι γωνιώδεις, οὐδὲ πάντες διὰ γραμμῆς εὐθείας.

Πάλιν τῶν ἀρωματοφόρων δένδρων τινῶν μὲν ἡ ῥίζα 6 ἀρωματική ἐστιν, τινῶν ὁ φλοιός, τινῶν τὸ ξύλον· ἄλλων τὰ μέρη ὅλα εἰσὶν ἀρωματικά, ὡς τὸ βάλσαμον. πάλιν τῶν δένδρων τὰ μὲν γεννῶνται ἐκ σπέρματος, τὰ δὲ δι' ἑαυτῶν. καὶ πάλιν τὰ μὲν ἀπὸ ῥιζῶν ἐκσπῶνται καὶ μεταφυτεύονται, τὰ δὲ ἐκ τοῦ φιτροῦ, τὰ δὲ ἐκ τῶν κλάδων ἢ ἀπὸ τοῦ σπέρματος. καὶ τινὰ μὲν δι' ἑαυτῶν κατὰ μικρὸν ἐκτείνονται, τινὰ δὲ ἐν τῇ γῇ. καὶ τινὰ μὲν ἐν τοῖς δένδροις φυτεύονται, ὡς τὰ ἐγκεντριζόμενα. ἔστι δὲ βελτίων ὁ ἐγκεντρισμὸς ὁμοίων εἰς ὅμοια. ἔστι δὲ καὶ ἀναλογία ἄλλη τις, δι' ἧς ἀρίστως συμβαίνουσι τὰ ἀνόμοια, ὡς αἱ μηλέαι μετὰ τῶν ὀχνῶν. ἐν δὲ τοῖς ὁμοίοις, ὡς συκῆ ἐν συκῇ καὶ ἄμπελος ἐν ἀμπέλῳ καὶ ἀμυγδαλῆ ἐν ἀμυγδαλῇ. ἔστι δὲ καὶ ἄλλος ἐμφυλλισμὸς ἐν ἄλλοις διαφόροις γένεσιν, ὡς ἀρτεμισία εἰς ἀγρίαν ἀρτεμισίαν καὶ καλλιέλαιος εἰς ἀγριέλαιον καὶ ἡ μορέα εἰς πολλὰ δένδρα. τῶν δένδρων πάλιν τὰ ἄγρια καὶ τὰ κηπαῖα, καὶ πᾶν φυτὸν οὐ προάγει σπέρμα ὅμοιον τῷ σπέρματι ἐξ οὗ ἀνεφύη ἕκαστον. τινὰ γὰρ κρεῖττον σπέρμα ποιοῦσι, τινὰ χεῖρον. καὶ ἐκ τινῶν κακῶν σπερμάτων καλὰ δένδρα προβαίνουσιν, ὡς τὰ ἐξ ἀμυγδαλῆς μικρᾶς καὶ ῥοιᾶς ὀξώδους. τινῶν δένδρων

5 ἄγρια] ἄγριοι malebat Sylburg ‖ 14 μὲν] δὲ N^a ‖ 24 an εἰς τὰ κηπαῖα? 'in hortenses' Alfredus ‖ 28 τινῶν κ. τ. λ. male intellexit noster, ut videtur, Alfredum haec praebentem: 'quarundam iterum semen, cum debiles fuerint, deficit, ut pinus et palmae'

εἰσι ποτοί, οἱ δὲ οὐ ποτοί· καὶ ποτοὶ μὲν οἱ τῶν σταφυλῶν καὶ τῶν ῥοιῶν καὶ λοιπῶν ἄλλων πολλῶν, ἄποτοι δὲ ἄλλων φυτῶν. καὶ τινῶν μέν εἰσι λιπαροί, ὡς οἱ τῆς ἐλαίας, τῆς πεύκης καὶ τῆς καρύας, τινῶν δ' οὔ. καὶ τινῶν μὲν γλυκεῖς καὶ μελιηδεῖς, ὡς τῶν φοινίκων καὶ τῶν συκῶν· καὶ τινῶν μὲν θερμοὶ καὶ δριμεῖς, ὡς τοῦ ὀριγάνου καὶ τοῦ σινήπιος, τινῶν δὲ πικροί, ὡς τοῦ ἀψινθίου καὶ τῆς κενταυρέας. πάλιν τῶν καρπῶν οἱ μέν εἰσι σύνθετοι ἐκ σαρκῶν καὶ κόκκων καὶ λεμμάτων, ὡς οἱ σικυοί, τινὲς δὲ ἐκ χυμοῦ καὶ κόκκων, ὡς αἱ ῥοιαί. καὶ τινὰ μὲν τοὺς φλοιοὺς ἔχουσιν ἐκτός, τὴν δὲ σάρκα ἐντός, τινὰ δὲ τὸ ὀστοῦν ἐντὸς καὶ τὴν σάρκα ἐκτός. τινὰ δέ εἰσιν ἐν οἷς παραυτίκα γίνεται τὸ σπέρμα καὶ τὸ περικάλυμμα ᾧ περικαλύπτονται, ὡς οἱ καρποὶ τῶν φοινίκων καὶ τῶν ἀμυγδαλῶν· τινῶν δ' οὐχί. καὶ τινὲς καρποί εἰσι βρώσιμοι καὶ κατὰ συμβεβηκὸς ἄβρωτοι· καὶ τινὲς καρποὶ ἡμῖν μὲν ἄβρωτοι, ἄλλοις δὲ βρώσιμοι, ὡς ὁ ὑοσκύαμος καὶ ὁ ἐλλέβορος ἀνθρώποις μὲν δηλητήριον, τροφὴ δὲ τοῖς ὄρτυξι. πάλιν τινὲς τῶν καρπῶν εἰσὶν ἐν θήκαις, ὡς οἱ κόκκοι τοῦ κυάμου· τινὲς ἐν περικαλύμματι καὶ ἐν λέμματι οἷον ὑφάσματί τινι, ὡς ἐν σίτῳ εὑρίσκεται καὶ τοῖς λοιποῖς. καὶ τινὲς μὲν ἐν σαρκί εἰσιν, ὡς οἱ τῶν φοινίκων καρποί, τινὲς δὲ οἷον ἐν οἰκίσκοις, ὡς αἱ βάλανοι, ἄλλοι δ' ἐν οἰκίσκοις πολλοῖς καὶ λέμμασι καὶ ὀστράκοις, ὡς τὰ κάρυα. καὶ τινὲς μὲν ὀξέως πεπαίνονται, ὡς οἱ καρποὶ τῆς μορέας καὶ τῆς κεράσου, τινὲς δὲ βραδέως, ὡς πάντες οἱ καρποὶ οἱ ἄγριοι ἢ οἱ πλείονες αὐτῶν. καὶ τινὰ μὲν φυτὰ ὀξέως προάγουσι φύλλα καὶ καρπούς, τινὰ δὲ βραδέως· καὶ τούτων τινὰ τῷ χειμῶνι ἀκολουθοῦσι, πρὶν ἂν πεπανθῶσι. καὶ πάλιν τὰ χρώματα τῶν φύλλων καὶ τῶν καρπῶν καὶ τῶν οἷον ἐπ' αὐτοῖς ὑφασμάτων λίαν εἰσὶ διά-

13 περικαλύπτεται Bussemaker e Parisino ‖ 23 καὶ ἐν λ. N^a ‖ 25 μορίας N^a, et p. 21, 23 μορία

φορα· τινὰ γὰρ τῶν φυτῶν ἐν τῇ οἰκείᾳ ὁλότητι εἰσὶ χλοάζοντα, καὶ τινὰ μὲν ἐκκλίνουσιν εἰς μελανίαν, τινὰ δὲ εἰς λευκότητα, καὶ τινὰ εἰς ἐρυθρότητα διὰ τὴν θερμότητα τὴν ἐκκαίουσαν τὸν ἀέρα τὸν κεκραμένον μετὰ τοῦ προσγείου. πάλιν τὰ σχήματα τῶν καρπῶν, εἰ εἰσὶν ἄγρια, καὶ διαφόρων εἰσὶ θέσεων· οὐδὲ γὰρ πάντες οἱ καρποὶ εἰσι γωνιώδεις, οὐδὲ πάντες διὰ γραμμῆς εὐθείας.

6 Πάλιν τῶν ἀρωματοφόρων δένδρων τινῶν μὲν ἡ ῥίζα ἀρωματική ἐστιν, τινῶν δ ὁ φλοιός, τινῶν τὸ ξύλον· ἄλλων τὰ μέρη ὅλα εἰσὶν ἀρωματικά, ὡς τὸ βάλσαμον. πάλιν τῶν δένδρων τὰ μὲν γεννῶνται ἐκ σπέρματος, τὰ δὲ δι' ἑαυτῶν. καὶ πάλιν τὰ μὲν ἀπὸ ῥιζῶν ἐκσπῶνται καὶ μεταφυτεύονται, τὰ δὲ ἐκ τοῦ φιτροῦ, τὰ δὲ ἐκ τῶν κλάδων ἢ ἀπὸ τοῦ σπέρματος. καὶ τινὰ μὲν δι' ἑαυτῶν κατὰ μικρὸν ἐκτείνονται, τινὰ δὲ ἐν τῇ γῇ. καὶ τινὰ μὲν ἐν τοῖς δένδροις φυτεύονται, ὡς τὰ ἐγκεντριζόμενα. ἔστι δὲ βελτίων ὁ ἐγκεντρισμὸς ὁμοίων εἰς ὅμοια. ἔστι δὲ καὶ ἀναλογία ἄλλη τις, δι' ἧς ἀρίστως συμβαίνουσι τὰ ἀνόμοια, ὡς αἱ μηλέαι μετὰ τῶν ὀχνῶν. ἐν δὲ τοῖς ὁμοίοις, ὡς συκῆ ἐν συκῇ καὶ ἄμπελος ἐν ἀμπέλῳ καὶ ἀμυγδαλῆ ἐν ἀμυγδαλῇ. ἔστι δὲ καὶ ἄλλος ἐμφυλλισμὸς ἐν ἄλλοις διαφόροις γένεσιν, ὡς ἀρτεμισία εἰς ἀγρίαν ἀρτεμισίαν καὶ καλλιέλαιος
21ª εἰς ἀγριέλαιον καὶ ἡ μορέα εἰς πολλὰ δένδρα. τῶν δένδρων πάλιν τὰ ἄγρια καὶ τὰ κηπαῖα, καὶ πᾶν φυτὸν οὐ προάγει σπέρμα ὅμοιον τῷ σπέρματι ἐξ οὗ ἀνεφύη ἕκαστον. τινὰ γὰρ κρεῖττον σπέρμα ποιοῦσι, τινὰ χεῖρον. καὶ ἐκ τινῶν κακῶν σπερμάτων καλὰ δένδρα προβαίνουσιν, ὡς τὰ ἐξ ἀμυγδαλῆς μικρᾶς καὶ ῥοιᾶς ὀξώδους. τινῶν δένδρων

5 ἄγρια] ἄγριοι malebat Sylburg ‖ 14 μὲν] δὲ N^a ‖ 24 an εἰς τὰ κηπαῖα? 'in hortenses' Alfredus ‖ 28 τινῶν κ. τ. λ. male intellexit noster, ut videtur, Alfredum haec praebentem: '*quarundam iterum* semen, cum debiles fuerint, deficit, ut *pinus et palmae*'

πάλιν σπέρμα ἂν ἀσθενὲς γένηται, ἐκλείπει τὸ γενέσθαι καλὰ αὐτά, ὡς αἱ πεῦκαι καὶ οἱ φοίνικες. οὐ προέρχονται δὲ ῥαδίως ἐκ σπέρματος κακοῦ καλὰ δένδρα, οὐδὲ ἐκ σπέρματος ἀγαθοῦ κακὰ δένδρα. τὸ δὲ ἐκ πονηροῦ γενέσθαι ἀγαθόν, καὶ τὸ ἐναντίον, ἐν τοῖς ζῴοις πολλάκις εὑρίσκεται. πάλιν δένδρον τὸ ἔχον σκληρὸν λίαν τὸν φλοιὸν στεῖρον ἀποκαθίσταται· ἐὰν δὲ σχισθῇ ἡ ῥίζα αὐτοῦ καὶ τῇ σχισμῇ λίθος ἐμβληθῇ, εὔφορον γίνεται. ἐν δὲ τοῖς φοίνιξιν ἂν φύλλα ἢ ψῆνες ἢ φλοιὸς τοῦ ἄρρενος φοίνικος τοῖς φύλλοις τοῦ θήλεος συντεθείη, ἵνα πως συναφθῶσι, ταχέως πεπαίνονται οἱ καρποί, κωλύεται δὲ καὶ ἡ πτῶσις αὐτῶν. διακρίνεται δὲ ὁ ἄρρην ἀπὸ τοῦ θήλεος, ὅτι πρώτως βλαστάνουσι τὰ τούτου φύλλα, ἅ εἰσι παρὰ τὰ τοῦ θήλεος μικρότερα· ἀλλὰ καὶ διὰ τῆς εὐωδίας. ἀλλαχοῦ δὲ ἔκ τινος τούτων ἢ ἐκ πάντων συμβαίνει. τυχὸν δὲ καὶ εἰ ἐκ τῆς εὐωδίας τοῦ ἄρρενος ἐπαγάγῃ τι ἄνεμος πρὸς τὸν θῆλυν, πεπαίνονται καὶ οὕτως οἱ καρποί, ὥσπερ ὁπόταν τὰ φύλλα τοῦ ἄρρενος τῷ θήλει ἀπαιωρῶνται. συκαῖ ὡσαύτως ἄγριαι εἰς τὴν γῆν ἐξαπλωθεῖσαι συμβάλλονται τὰ πολλὰ ταῖς κηπαίαις συκαῖς. τὰ βαλαύστια ταῖς ἐλαίαις συμβάλλουσιν, ὅταν ὁμοῦ φυτεύωνται.

7 *Πάλιν τῶν φυτῶν τινὰ μεταλλάττονται, ὡς φασίν, εἰς ἄλλο εἶδος, ὡς ἡ καρύα, ὅταν γηράσῃ. λέγουσι πάλιν ὡς ἡ καλαμίνθη μεταβάλλεται εἰς ἡδύοσμον· καὶ τὸ τράγιον δὲ τμηθὲν καὶ φυτευθὲν παρὰ τὴν θάλασσαν τυχὸν ἔσται σισύμβριον. φασὶ πάλιν ὡς ὁ σῖτος καὶ τὸ λίνον μεταβάλλονται εἰς ἕτερον εἶδος. βελένιον δὲ τὸ δηλητηριῶδες, τὸ γινόμενον ἐν τῇ Περσίδι, μεταφυτευόμενον ἐν Αἰγύπτῳ ἢ ἐν Παλαιστίνῃ γίνεται βρώσιμον. ὡσαύτως ἀμυγδαλῆ καὶ ῥοιὰ μεταβάλλονται ἀπὸ τῆς ἰδίας κακίας διὰ γεηπονίαν εἰς τὸ χρηστότερον. ἀλλ' αἱ ῥοιαὶ μὲν χοιρείας κόπρου ἐμ-*

2 *προέρχεται* N^a ‖ 3 *οὐδὲ* — 4 *δένδρα* om. N^a ‖ 28 *περσία* N^a ‖ 30 *γεοπονίαν* N^a

βεβλημένης ταῖς ῥίζαις, καὶ δι' ὕδατος γλυκέος καὶ ψυχροῦ ποτιζόμεναι βελτιοῦνται· ἀμυγδαλαῖ δὲ ἥλων ἐμπηγνυμένων αὐταῖς, καὶ κόμεος διὰ πολλοῦ καιροῦ ἐντεῦθεν ἐκβαλλο- 821b *μένου. πολλὰ δὲ φυτὰ ἄγρια διὰ ταύτης τῆς ἐπιτεχνήσεως γίνονται κηπαῖα. τόπος δὲ καὶ γεηπονία σφόδρα τούτοις συμβάλλονται, καὶ μᾶλλον ὁ τοῦ ἔτους καιρός, οὗ χρῄζουσι μᾶλλον οἱ φυτευταί. πάλιν τῶν φυτῶν τὰ πλείονα φυτεύονται ἐν ἔαρι, ὀλίγα ἐν χειμῶνι καὶ φθινοπώρῳ, καὶ ὀλίγιστα ἐν θέρει μετὰ τὴν ἐπιτολὴν τοῦ κυνάστρου. ἐν ὀλίγοις δὲ τόποις γίνεται ἡ τοιαύτη φυτεία, καὶ οὐδέποτε γίνεται εἰ μὴ ἀραιός, ὡς ἐν τῇ Ῥώμῃ, κατὰ τήνδε τὴν ὥραν. ἐν Αἰγύπτῳ δὲ οὐ γίνεται ἡ φυτεία εἰ μὴ ἅπαξ τοῦ ἐνιαυτοῦ. πάλιν τινὰ τῶν φυτῶν ἐκ τῶν οἰκείων ῥιζῶν φύλλα προβάλλονται, τινὰ ἐκ τῶν οἰκείων κόμεων ἢ ἐκ τῶν οἰκείων ξύλων. καὶ τινὰ μὲν πλησίον τῆς γῆς, τινὰ δὲ πόρρω, τινὰ ἐν μέσῳ. καὶ τινὰ μὲν ἅπαξ τοῦ ἐνιαυτοῦ καρποφοροῦσι, τινὰ δὲ πλειστάκις, ἀλλ' οὐ πεπαίνονται οἱ καρποὶ αὐτῶν, ἀπομένουσι δὲ ὠμοί. καὶ τινὰ δένδρα εἰσὶν εὔφορα διὰ πολλῶν χρόνων, ὡς αἱ συκαῖ· τινὰ ἐν ἑνὶ καρποφοροῦσιν ἔτει, ἐν δὲ τῷ ἑτέρῳ ἀνακτῶνται ἑαυτά, ὡς αἱ ἐλαῖαι πολλοὺς κλάδους προβαλλόμεναι, οἷς καὶ περικαλύπτονται. καὶ τινὰ μὲν τῶν φυτῶν εὐφορώτερά εἰσιν ἐν γήρᾳ, τινὰ δὲ ἐκ τοῦ ἐναντίου μᾶλλον καρποφοροῦσιν ἐν νεότητι, ὡς ἀμυγδαλαῖ καὶ ὄχναι καὶ αἴγειροι. ἡ διαφορὰ δὲ τῶν φυτῶν τῶν ἀγρίων καὶ τῶν κηπαίων διακρίνεται δι' ἀρρένων καὶ θηλέων, ὁπόταν ἕκαστον αὐτῶν γνωρισθείη διὰ τῶν ἰδιωμάτων τῶν εὑρισκομένων ἐν αὐτοῖς, ὅτι τὸ μὲν ἄρρεν ἐστὶ πυκνότερον σκληρότερον καὶ πολυκλονώτερον, ἧττον ὑγρόν, καὶ ταχύτερον εἰς πέπανσιν, καὶ φύλλα ἔχον διάφορα καὶ παραφυάδας. τὸ δὲ θῆλυ ἐπ' ἔλαττον ἔχει ταῦτα. δεῖ*

2 *πιεζίμεναι* N^a ‖ 3 *κόμεως* N^a ‖ 5 *πηγονία* N^a ‖ 11 *ἀραιός, ὡς*] *ἀραιῶς* Bussemaker e Parisino ‖ 20 *αἱ* om. N^a ‖ *πολλοὺς δὲ κλ.* N^a ‖ 28 *πολυκλωνότερον* N^a

τοίνυν, ὅταν κατανοήσωμεν ταῦτα, πάλιν στοχάσασθαι πῶς ἂν γνοίημεν τὰ δένδρα καθ' αὑτὰ καὶ τὰ γένη καθ' αὑτά. καὶ περὶ τῶν βοτανῶν ὡσαύτως, πῶς ἂν κατανοήσωμεν ἃ εἶπον οἱ παλαιοί. πῶς; ἐὰν ἐπιμελῶς σκοπήσωμεν τὰς βίβλους αὐτῶν, ἃς ἔγραψαν, καὶ δυνηθείημεν διερευνῆσαι τούτων τὸν μυελὸν ἐρεύνῃ συνοπτικῇ, καὶ γνωρίσαι βοτάνας τὰς ἐλαιώδεις καὶ βοτάνας τὰς σπέρμα μόνον ἐχούσας, καὶ τὰς βοήθειαν χορηγούσας, καὶ τὰς ἰατρικὰς καὶ τὰς φθοροποιούς. ὡσαύτως καὶ τὰ δένδρα μετὰ τῶν βοτανῶν. πρὸς δὲ τὸ μαθεῖν καὶ τὰς αἰτίας αὐτῶν ὀφείλομεν ζητῆσαι τὴν γένεσιν τούτων, πῶς τινὰ μὲν γεννῶνται ἐν τισὶ τόποις, ἐν ἄλλοις δ' οὔ· ἔτι δὲ καὶ τὰς φυτείας αὐτῶν καὶ τὰς ῥίζας, καὶ τὰς διαφορὰς τῶν χυλῶν καὶ τῶν ὀδμῶν καὶ τοῦ γάλακτος καὶ τοῦ κόμεος, καὶ τὴν χρηστότητα καὶ τὴν κακίαν ἑκάστων, καὶ τὰς διαμονάς, πῶς τινῶν μὲν διαμένουσιν οἱ καρποὶ τινῶν δ' οὔ, καὶ δι' ἣν αἰτίαν τινῶν μὲν σήπονται συντόμως τινῶν δὲ βραδέως, ἐρευνῆσαί τε καὶ τὰς ἰδιότητας τῶν φυτῶν, καὶ μᾶλλον τῶν ῥιζῶν· καὶ πῶς τινῶν μὲν καρποὶ μαλθάσσονται, τινῶν δ' οὔ· καὶ πῶς τινὲς ἀφροδίτην προκαλοῦνται, τινὲς δὲ ὕπνον, τινὲς δὲ καὶ διαφθείρουσι, καὶ πολλὰς ἄλλας διαφοράς· καὶ πῶς τινῶν μὲν οἱ καρποὶ ποιοῦσι γάλα, τινῶν δ' οὔ.

B.

Τὸ δένδρον τρεῖς ἔχει δυνάμεις, πρώτην ἐκ τοῦ γένους τῆς γῆς, δευτέραν ἐκ τοῦ γένους τοῦ ὕδατος, τρίτην ἐκ τοῦ γένους τοῦ πυρός. ἀπὸ τῆς γῆς γάρ ἐστιν ἡ ἔκφυσις τῆς βοτάνης, ἀπὸ τοῦ ὕδατος ἡ σύμπηξις, ἀπὸ τοῦ πυρὸς ἡ ἕνωσις τῆς συμπήξεως τοῦ φυτοῦ. βλέπομεν δὲ πολλὰ τού-

1 στοχάζεσθαι *N*ᵃ ‖ 14 κόμμεως Bussemaker e Parisino ‖ 23 Tit. περὶ τῶν ἐν ταῖς βοτάναις τριῶν δυνάμεων βιβλίον β *N*ᵃ

των καὶ ἐν τοῖς ὀστρακώδεσιν. εἰσὶ γὰρ ἐν τούτοις τρία, πηλός, ἐξ οὗ γίνεται πλίνθος ὀστρακώδης, δεύτερον ὕδωρ, ὅπερ ἐστὶ τὸ στερεοῦν τὰ ὀστρακώδη, τρίτον τὸ πῦρ τὸ συνάγον τὰ μέρη αὐτοῦ, ἔστ' ἂν δι' αὐτοῦ πληρωθείη ἡ τούτου γένεσις. ἡ φανέρωσις γοῦν ὅλης τῆς ἑνώσεως τούτων ἀπὸ τοῦ πυρός ἐστιν, ὅτι ἀραιότης ἔνεστι τοῖς ὀστρακώδεσι κατὰ τὰ ἴδια μέρη. καὶ ὁπόταν μίξῃ ταῦτα τὸ πῦρ, τελειοῦται ἡ ὕλη τοῦ ὑγροῦ, καὶ συγκολλῶνται τὰ μέρη τοῦ πηλοῦ, προέρχεταί τε ξηρότης ἐν τῷ τόπῳ τοῦ ὑγροῦ. καὶ διὰ τὴν ἐπικράτειαν ἕπεται πέψις ἐν παντὶ ζῴῳ καὶ φυτῷ καὶ μετάλλοις. πέψις γάρ ἐστιν, ὅπου ὑγρότης καὶ θερμότης ἰδίῳ πέρατι ἀκολουθεῖ. ἔστι δὲ τοῦτο ἐν τῇ πέψει τοῦ λίθου καὶ τῶν μετάλλων ἐκφανές· ἐν τῷ ζῴῳ δὲ καὶ τῷ φυτῷ οὐχ οὕτως, ὅτι τούτων τὰ μέρη οὐκ εἰσὶ συμπεπηγότα εἰς ἓν ὡς τοῖς λίθοις, καὶ ὅτι ἐκ τούτων καταρροή τις προβαίνει, ἐκ δὲ τῶν λίθων καὶ τῶν μετάλλων οὐκ ἔξεισι καταρροὴ ἤ τις ἱδρώς. τὰ γὰρ μέρη αὐτῶν οὐκ εἰσὶν ἀραιά, κἀντεῦθεν οὐδέ τινα ἀπ' αὐτῶν ἐξέρχονται, ὡς ἀπὸ τοῦ ζῴου καὶ τοῦ φυτοῦ περιττώματα, οὐδὲ γίνεται ἔξοδός τις ἀλλ' ἢ ἀπὸ τῆς ἀραιότητος. ἐν ᾧ γὰρ ἀραιότης οὐκ ἔστιν, ἀπ' αὐτοῦ παντελῶς οὐδέν τι ἐξέρχεται. διὰ τοῦτο στερεόν ἐστιν, εἰς ὃ αὐξάνεσθαί τι οὐ πέφυκε. καὶ γὰρ τὸ αὐξάνεσθαι πεφυκὸς δεῖται τόπου, ἐν ᾧ ἂν πλατυνθείη καὶ περατωθείη. λίθοι δὲ καὶ ὄστρακα καὶ τὰ τοιαῦτα ἀεί εἰσιν ἐν ταὐτῷ,
2^b οὔτε αὐξάνουσιν οὔτε ἐκτείνονται. πάλιν τοῖς φυτοῖς δευτέρῳ τρόπῳ ἔνεστι κίνησις, ἔστι καὶ ἐφέλκυσις, ἥτις ἐστὶ δύναμις ἐκ τῆς γῆς ἐφελκομένη τὸ ὑγρόν. ἔστι δὲ τῇ ἐφελκύσει κίνησις ἥτις ἔρχεται εἰς τόπον, καὶ τελειοῦταί πως ἡ πέψις· καὶ διὰ τοῦτο ὡς ἐπὶ τὸ πλεῖστον αἱ μικραὶ βοτάναι μιᾷ ὥρᾳ μιᾶς ἡμέρας γεννῶνται. οὐκ ἔστι δὲ τοῦτο καὶ ἐν τοῖς

1 ὀστρεώδεσιν N^a ‖ 19 ἀλλ' ἢ scripsi cf. 825^a 15: ἄλλη codd., vulgo ‖ 22 τι] τε N^a ‖ 27 τε N^a

ζῴοις· ἡ γὰρ ὕλη ἐν τοῖς ζῴοις ἐστὶ καθ' ἑαυτὴν καὶ διῃρημένη. οὐκ ἔστι δὲ οὐδὲ ἡ πέψις εἰ μὴ ἐν χρήσει μάλιστα καὶ αὕτη. ἡ ὕλη δὲ τοῦ φυτοῦ τούτῳ ἐστὶ πλησίον, καὶ διὰ τοῦτο ὀξυτέρα ἐστὶν ἡ τούτου γένεσις. γεννᾶται δὲ καὶ αὐξάνει καὶ ὅπερ μᾶλλόν ἐστι λεπτὸν ἐν αὐτῷ, παρὰ τὸ πυκνόν. τὸ γὰρ πυκνὸν πολυτρόπων δεῖται δυνάμεων διά τε τὴν διαφορὰν τοῦ οἰκείου σχήματος καὶ διὰ τὸ μῆκος τῶν μερῶν αὐτοῦ πρὸς ἄλληλα. κἀντεῦθεν ὀξυτέρα καὶ φυτοῦ γένεσις, διὰ τὴν λεπτότητα ἑτέρου πρὸς ἕτερον, καὶ ταχυτέρα ἡ τελείωσις. τὰ μέρη τῶν φυτῶν ὡς ἐπὶ τὸ πλεῖστόν εἰσιν ἀραιά, ὅτι ἡ θερμότης αὐτῶν τὴν ὑγρότητα πρὸς τὰ ἄκρα τῶν φυτῶν ἐφέλκεται. διασπείρεταί τε ἡ ὕλη ἡ θρεπτικὴ εἰς ὅλα τὰ μέρη αὐτῶν· ὃ δὲ περιττεύει, ἐκχεῖται. ὥσπερ δὲ ἐν τοῖς βαλανείοις ἡ θερμότης τὴν ὑγρότητα ἐφέλκεται καὶ ταύτην εἰς ἀτμίδα μεταστρέφει, αὕτη δὲ κουφιζομένη, ὁπόταν περιττεύσῃ, μεταβάλλεται εἰς σταγόνας, οὕτως καὶ ἐν τοῖς ζῴοις καὶ ἐν τοῖς φυτοῖς τὰ περιττώματα ἀναβαίνουσιν ἀπὸ τῶν κατωτέρων εἰς τὰ ἀνώτερα, καὶ καταβαίνουσιν ἀπὸ τῶν ἀνωτέρων εἰς τὰ κατώτερα. τοιουτοτρόπως δὲ καὶ οἱ ποταμοὶ οἱ ὑπὸ τὴν γῆν γεννῶνται ἀπὸ τῶν ὀρέων. ὕλη γὰρ αὐτῶν εἰσὶν οἱ ὑετοί· καὶ ὅταν πληθυνθῶσι τὰ ὕδατα καὶ στενοχωρῶνται ἐντός, γίνεται ἐκ τούτων ἀτμὶς περιττή, ἥτις διὰ τὸν ἐντὸς συμπιεσμὸν σχίζει τὴν γῆν· καὶ οὕτω φαίνονται πηγαὶ καὶ ποταμοὶ οἱ πρότερον μὴ φαινόμενοι ἀλλ' ἐγκεκρυμμένοι τυγχάνοντες.

2 *Ἐκτεθείκαμεν δὲ αἰτίας περὶ τῆς γενέσεως τῶν πηγῶν καὶ τῶν ποταμῶν ἐν τῷ ἡμετέρῳ βιβλίῳ τῷ περὶ μετεώρων, ἐν ᾧ εἴπομεν καὶ περὶ σεισμῶν ὅτι πολλάκις δεικνύουσιν οὗτοι πηγὰς καὶ ποταμούς, οἳ πρότερον οὐκ ἐφαίνοντο, οἷον*

5 *καὶ αὐξάνει ὅπερ ἐστὶ λεπτὸν ἐν αὐτῷ, μᾶλλον παρὰ τὸ πυκνόν* malebat Sylburg ‖ *παρὸ* N^{a} ‖ 7 *φορὰν* N^{a} ‖ 11 *αὐτοῦ* N^{a} ‖ 17 *τὰ* om. N^{a} ‖ 18 *καὶ κ.* — 19 *κατώτερα* om. N^{a} ‖ 27 *τῷ* ante *περὶ* om. N^{a} ‖ Meteorol. 365^{b} 1 sqq.

ὅτε σχίζεται ἡ γῆ ἐκ τῆς ἀναθυμιάσεως. πολλάκις δὲ εὑρίσκομεν ὅτι καὶ πηγαὶ καὶ ποταμοὶ συζεύγνυνται, ὅτε γίνεται σεισμός. τοῦτο δὲ τῷ φυτῷ οὐ συμβαίνει, ὅτι ἀὴρ ἐν τῇ
3a ἀραιότητι τῶν μερῶν αὐτοῦ ἐστί, καὶ τοῦδε πάλιν σημεῖον, ὅτι σεισμὸς οὐδὲ ἐν τοῖς τόποις τοῖς ψαμμώδεσι πέφυκε γίνεσθαι, ἀλλ' ἐν τόποις πυκνοῖς καὶ σκληροῖς, ὁποῖοί εἰσιν οἱ τῶν ὑδάτων καὶ τῶν ὀρέων. καὶ γὰρ συμβαίνει σεισμὸς ἐν τοῖς τόποις τούτοις, ὅτι τὸ ὕδωρ ἐστὶ στερρὸν καὶ οἱ λίθοι στερροί· τῇ φύσει δὲ τοῦ ἀέρος τοῦ θερμοῦ καὶ ξηροῦ ἔνεστι τὸ ἀναβαίνειν ἐκ τῆς κουφότητος. ὅτε γοῦν συνέλθωσι τὰ μέρη αὐτοῦ καὶ κατακυριεύσωσι, συνωθοῦσι τὸν τόπον, καὶ ἐντεῦθεν ἐξέρχεται ἀπ' αὐτοῦ βιαία ἀναθυμίασις. ἐὰν δὲ ὁ τόπος ᾖν ἀραιός, οὐκ ἂν ἐξήρχετο οὕτως, ἀλλ' ὡς ἐπὶ τῆς ψάμμου συμβαίνει. ἐξέρχεται γὰρ καὶ ἐντεῦθεν ἀναθυμίασις, ἀλλὰ κατὰ βραχύ· καὶ διὰ τοῦτο οὐ γίνεται σεισμός. ἁπλῶς οὖν ἐν τοῖς στερεοῖς πᾶσι τοῦτο οὐ συμβαίνει, λέγω τὸ κατὰ βραχὺ τὸν ἀέρα ἐξέρχεσθαι. συναγόμενα γὰρ τὰ μέρη τούτου δύνανται τὴν γῆν σχίζειν, καὶ τοῦτο ἐστὶν αἰτία τοῦ σεισμοῦ ἐν σώμασι στερεοῖς. ἐν τοῖς μέρεσι δὲ τῶν φυτῶν καὶ τῶν ζῴων σεισμὸς οὐ γίνεται, ἀλλ' ἐν ἄλλοις πᾶσι, καὶ πλειστάκις ἔν τε τοῖς ὀστρακώδεσι καὶ ἐν ὑέλῳ καὶ λοιποῖς μετάλλοις. ἐν ᾧ γὰρ σώματί ἐστι πολλὴ ἀραιότης, ἔθος καὶ τὴν ἀναθυμίασιν ἀναβαίνειν· ὑποκουφίζει γὰρ αὐτὴν ὁ ἀήρ. καὶ συχνάκις τοῦτο βλέπομεν, ὅταν βάλλωμεν χρυσὸν εἰς τὸ ὕδωρ ἢ ἄλλο τι βαρύ, καὶ παραυτίκα βυθίζεται· καὶ πάλιν ὅταν βάλλωμεν ξύλον ἀραιὸν ἢ βραχύ, καὶ ἐπιπλέει καὶ οὐ βυθίζεται. ὅθεν οὐ διὰ τὰ φύλλα οὐ καταδύεται τὸ καταδυόμενον πολλάκις ξύλον, οὐδὲ διὰ τὸ ὑποκείμενον τὸ βαρύ, ἀλλ' ὅτι τὸ μέν ἐστι στερρὸν καὶ πυκνόν,

2 *συζεύγνυνται*: 'submergi' Alfredus. cf. 824a 22 *διαζεύγνυνται* eodem sensu ‖ 5 *οὐδὲ σεισμὸς* N^a Parisinus ‖ 10 *ὅτε*] *ὅταν* Bussemaker e Parisino ‖ 21 *ἐν* om. N^a ‖ 25 *τὸ* om. N^a

τὸ δὲ ἀραιόν· τὸ δὲ ἀραιὸν παντάπαν οὐ βυθίζεται. ἔβενος δὲ καὶ τὰ αὐτῷ παραπλήσια βυθίζονται, ὅτι μικρά ἐστιν ἐν τούτοις ἡ ἀραιότης· καὶ οὐδὲ ἔστιν ἐν αὐτοῖς ἀὴρ ὁ δυνάμενος ταῦτα κουφίσαι. καταδύονται δέ, ὅτι τὰ μέρη αὐτῶν λίαν εἰσὶ πυκνὰ καὶ στερρά. πᾶν δὲ ἔλαιον καὶ πάντα τὰ φύλλα τοῦ ὕδατος ὑπερνήχονται. καὶ τοῦτο ἤδη ἀποδεικνύομεν. ἔγνωμεν γὰρ ὅτι ἐν τούτοις ἐστὶν ὑγρότης καὶ θερμότης, καὶ ἔθος τοῦ ὑγροῦ ἐστὶ τοῖς τοῦ ὕδατος μέρεσι συνάπτεσθαι· ἡ δὲ θερμότης ποιεῖ ἀνάγεσθαι τὸ ὑγρόν, καθὼς παρέπεται ἐν τῷ καιρῷ τοῦ ἔαρος. ἔθος δὲ καὶ τοῦ ὕδατος τὸ κουφίζειν πάντα πρὸς τὴν ἰδίαν ἐπιφάνειαν ἕως τῆς τοῦ ἀέρος ἐπιφανείας, ὥστε ποιεῖν αὐτὸν ἀνέρχεσθαι. τὴν δὲ ἐπιφάνειαν αὐτοῦ οὐχ ὑπερβαίνει τὸ ὕδωρ· ἡ γὰρ ὅλη ἐπιφάνεια αὐτοῦ μία ἐστὶ μετὰ τῆς τοῦ ἀέρος. καὶ διὰ τοῦτο ἄνεισι καὶ τὸ ἔλαιον ὑπεράνω τοῦ ὕδατος. εἰσὶ δὲ καί τινες λίθοι οἳ τοῦ ὕδατος ὑπερνήχονται, διὰ τὸ κενὸν μόνον τὸ ἐν τούτοις μεῖζον ὂν τῶν ἐν αὐτοῖς μερῶν, καὶ 823ᵇ
διὰ τὸ τὸν τόπον τοῦ ἀέρος μείζονα εἶναι τοῦ τόπου τοῦ σώματος τῆς γῆς. φύσις γάρ ἐστι τοῦ ὕδατος ὑπεράνω βαίνειν τῆς γῆς, τοῦ δὲ ἀέρος τὸ ὑπεράνω βαίνειν τοῦ ὕδατος. ἡ τοῦ ἀέρος τοίνυν φύσις τοῦ ἐγκλειομένου τῷ λίθῳ ἀναβαίνει ἐπάνω τοῦ ὕδατος, καὶ τῷ ὅλῳ ἀέρι συνάπτεται· καὶ γὰρ ἕκαστον τὸ οἰκεῖον ὅμοιον ἐφέλκεται, καὶ συνακολουθεῖ ἡ φύσις τοῦ μέρους τῷ ὅλῳ ᾧ συζεύγνυται. εἰ τοίνυν ἔσται τις ῥαχία κούφη, τὸ μὲν ἥμισυ αὐτῆς καταδύσεται ἐν ὕδατι, τὸ δὲ λοιπὸν ὑπερνήξεται, ὅτι μείζων ἐν αὐτῷ ὁ ἀὴρ τοῦ λοιποῦ σώματος τοῦ λίθου. διὰ τοῦτο πάντα τὰ δένδρα βαρύτερά εἰσι τῶν τοιούτων λίθων. οἱ ἐν τοῖς ὕδασι δὲ λίθοι γίνονται ἐκ τῆς συγκρούσεως τῶν ὑδάτων τῆς ἰσχυρᾶς. γίνεται γὰρ πρῶτον ἀφρός, εἶτα συμπήγνυται οὕτως οἷόν τι γάλα λιπαρόν· καὶ ὅτε τὸ ὕδωρ τῇ ψάμμῳ προστρίβεται, συναθροίζει ἡ ψάμμος τὴν λιπότητά πως τοῦ ἀφροῦ, ξηραίνει τε αὐτὴν ἡ ξηρότης τῆς θαλάσσης μετὰ περιττῆς τῆς

ἁλυκότητος· καὶ οὕτω συνάγονται τὰ μέρη τῆς ψάμμου, καὶ τῷ ἐπιμήκει τοῦ χρόνου γίνονται λίθοι. ἡ δήλωσις δὲ ὅτι ἡ θάλασσα ποιεῖ καθ' ἑαυτὴν ψάμμον, οὕτως ἐστίν, ὅτι πᾶσα γῆ οὐκ ἔστι γλυκεῖα· ὅτε οὖν στῇ ἐν αὐτῇ τι ὕδωρ, κωλύεται ὁ ἀὴρ ἀλλοιῶσαι αὐτό. ἔτι δὲ χρονίζοντος τῷ τόπῳ τοῦ ἐμπεριειλημμένου ὕδατος, ἐπεὶ οὐ δύναται τοῦτο παρομοιῶσαι ἑαυτῷ ὁ ἀήρ (κυριεύουσι γὰρ ἐν αὐτῷ τῷ ὕδατι τὰ μέρη τὰ γεώδη, ἅ εἰσιν ἁλυκά), ἀνάγκη ἐπὶ πλέον θερμανθέντα κατὰ βραχὺ καὶ ἄμφω ποιῆσαι πηλὸν ἔμφυτον. τοῦτο δὲ οὐ δύναται γενέσθαι ἐν ὕδασι γλυκεροῖς διὰ τὴν γλυκύτητα καὶ τὴν λεπτότητα αὐτῶν, ἀλλ' ἐν τοῖς ἁλμυροῖς, ὅτι κυριεύει ἐν τούτοις ἡ ξηρότης τῆς γῆς, καὶ ἢ μεταβάλλει τὸ ὕδωρ εἰς τὸ εἶδος αὐτῆς, ἢ πλησίον αὐτῆς τοῦτο ποιεῖ, καὶ ἑκάτερον ἀλλοιοῦται. σκληρύνουσα δὲ ἡ σκληρότης τῆς γῆς κατὰ τὴν δύναμιν τῆς συμπήξεως αὐτῆς τὴν ὑπόστασιν τοῦ ὕδατος, διαιρεῖ τὸν πηλὸν εἰς ἴδια μέρη σμικρά· καὶ διὰ τοῦτο γίνεται ἡ γῆ ἡ τῇ θαλάσσῃ πλησιάζουσα ψαμμώδης. οὕτως καὶ αἱ πεδιάδες, αἵτινες οὐκ ἔχουσιν ὅπερ ἂν περικαλύψῃ αὐτὰς ἀπὸ τοῦ ἡλίου, εἰσί τε καὶ μεμακρυσμέναι ἀπὸ ὕδατος γλυκεροῦ. ξηραίνει γὰρ ὁ ἥλιος τὰ μέρη τῆς ὑγρότητος τῆς γλυκείας, ἀπομένει δὲ ὅ ἐστιν ἐκ τοῦ γένους τῆς γῆς. καὶ διότι ἐνδιατρίβει ὁ ἥλιος ἐν τούτῳ τῷ τόπῳ τῷ ἀπερικαλύπτῳ, διαχωρίζονται τὰ μέρη τοῦ πηλοῦ, καὶ γίνεται ἐντεῦθεν ψάμμος. τούτου δὲ σημεῖόν ἐστιν, ὅτι ἐν τοιούτῳ τόπῳ βαθὺ κοιλαίνομεν καὶ εὑρίσκομεν πηλὸν ἔμφυτον, καὶ ἔστιν οὗτος ῥίζα ψάμμου.
24ª οὐ γίνεται δὲ ψάμμος εἰ μὴ κατὰ συμβεβηκός. συμβαίνει δὲ τοῦτο, ὅτι ἔστι διατριβὴ τῆς κινήσεως τοῦ ἡλίου, ὡς ἔφημεν, καὶ μακρυσμὸς ἀπὸ ὕδατος γλυκεροῦ. τοιουτοτρόπως

2 δήλωσις — 4 γλυκεῖα: 'significatio vero, quod mare sit super arenas est quod omnes terrae sunt dulces in gustu' Alfredus ‖ 4 γοῦν N^a ‖ 8 τὰ μέρη om. N^a ‖ 19 αὐτὰς] αὐτὰ Bussemaker e Parisino ‖ 25 βαθεῖ N^a

νοητέον καὶ περὶ τῆς ἁλμυρότητος τῶν ὑδάτων τῆς θαλάσσης. ἡ ῥίζα μὲν γὰρ πάντων τῶν ὑδάτων ἐστὶ γλυκερά, καὶ οὐκ ἄλλως συμβαίνει αὐτῇ ἁλμυρότης εἰ μὴ κατὰ τὸν τρόπον τὸν λεχθέντα. καὶ τοῦτο σημεῖόν ἐστιν αἰσθητὸν ὅτι ἡ γῆ μέν ἐστιν ὑποκάτω τοῦ ὕδατος, τὸ δὲ ὕδωρ ὑπεράνω ἐξ ἀνάγκης καὶ φυσικῶς. κἀντεῦθεν καὶ κυριώτερον συμβέβηκε τῷ ὕδατι τὸ εἶναι στοιχείῳ παρὸ τῇ γῇ. ἐφρόνησαν δέ τινες στοιχεῖον εἶναι τὸ πάντων τῶν ὑδάτων πλεῖστον· πλεῖστον δέ ἐστι τὸ ὕδωρ τῆς θαλάσσης, καὶ διὰ τοῦτο καὶ στοιχεῖον πάντων ἐκρίθη τῶν ὑδάτων. ἔστι δὲ τὸ ὕδωρ φυσικῶς ὑπερέχον τῆς γῆς καὶ λεπτότερον αὐτῆς. καὶ διὰ τοῦτο ἀπεδείξαμεν ὅτι καὶ τὸ ὕδωρ πάντως κουφότερόν ἐστι τὸ γλυκὺ τοῦ ἁλμυροῦ. πλὴν λάβωμεν καὶ ὡς ἐν παραδείγματι δύο σκεύη ἴσα, καὶ θῶμεν ἐν αὐτοῖς ὕδωρ γλυκὺ καὶ ὕδωρ ἁλμυρόν. μετὰ ταῦτα προσλάβωμεν ᾠόν, θῶμεν δὲ τοῦτο ἐν τῷ ὕδατι τῷ γλυκεῖ, καὶ αὐτίκα καταδύσεται. μετὰ ταῦτα θῶμεν αὐτὸ καὶ ἐν τῷ ὕδατι τῷ ἁλμυρῷ, καὶ ὑπερνήξεται, καὶ ἀναβήσεται ἐπάνω τῶν μερῶν τοῦ τοιούτου ὕδατος, διότι τὰ μέρη τούτου οὐ διαζεύγνυνται ὡς τὰ μέρη τοῦ ὕδατος τοῦ γλυκεροῦ. ἐκείνου μὲν γὰρ τὰ μέρη οὐ δύνανται ὑπομένειν διὰ τὴν λεπτότητα βάρος, τούτου δὲ διὰ τὴν παχύτητα δύνανται· καὶ διὰ τοῦτο οὐ καταδύεται τὸ ἐπιτεθὲν αὐτῷ. οὕτω φυσικῶς ἐν τῇ νεκρᾷ θαλάσσῃ οὔτε καταδύεται ζῷον οὔτε γεννᾶται· κυριεύει γὰρ ἡ ξηρότης ἐν αὐτῷ, καὶ ἐν παντὶ ὅπερ ἐστὶ πλησίον τοῦ σχήματος τῆς γῆς. φαίνεται τοίνυν ἐντεῦθεν ὅτι τὸ ὕδωρ τὸ παχύ ἐστιν ὑποκάτω τοῦ μὴ παχέος. τὸ γὰρ παχύ ἐστιν ἐκ τοῦ γένους τῆς γῆς, τὸ δὲ λεπτὸν καὶ ἀραιὸν ἐκ τοῦ γένους τοῦ ἀέρος. καὶ διὰ τοῦτο ὑπερέχει τὸ ὕδωρ τὸ γλυκὺ πάντων τῶν ὑδάτων· ἐκεῖνο γάρ ἐστιν ὑπάρχον τῆς γῆς πορρωτέρω. ἤδη τοιγαροῦν ἔγνωμεν ὅτι τὸ ὕδωρ τὸ πορρωτάτω τῆς γῆς φυ-

10 *ἐκρίθη πάντων* *N*a ‖ 25 *αὐτῷ*] *αὐτῇ* malebat Sylburg

σικόν ἐστι. καὶ τὸ γλυκὺ τοῦ θαλαττίου ὑπερκεῖσθαι ἀπεδείξαμεν. καὶ φυσικὸν τοῦτο εἶναι τῷ ῥηθέντι σημείῳ φανερὸν καὶ ἀναγκαῖον ἐγένετο. γεννᾶται δὲ τὸ ἅλας ἐν ἱσταμένοις ὕδασιν, οἷς τὸ γλυκὺ γίνεται ἁλμυρόν. ὑπερβαίνει δὲ ἡ ἁλμυρότης τῆς γῆς ἐκείνην τὴν ἁλμυρότητα. ἀπομένει γὰρ ἐκείνῃ μὲν ἀὴρ ἐγκεκλεισμένος, ταύτῃ δ' οὔ. καὶ διὰ τοῦτο οὐκ ἔστιν ἐκεῖνο τῆς γῆς τὸ σῶμα, γλυκύτητός τινος μετέχον
4b κατὰ πάντα τρόπον, εἰ καὶ τὸ γένος τοῦτο ἐξ ὕδατός ἐστιν, ὃ ἐξέρχεται ἐξ αὐτῆς τῆς γῆς ὡς ἱδρώς.

Πρὸς τούτοις ὀφείλομεν εἰδέναι ὅτι καὶ αἱ βοτάναι καὶ 3
τὰ εἴδη οὐκ εἰσὶν εἰ μὴ ἐκ συνθέσεως, καὶ οὐκ ἐξ ὕλης 11
ἁπλῆς, ἀλλ' ὥσπερ ἐστὶν ἡ ἁλυκότης ἀπὸ τοῦ ὕδατος τῆς θαλάσσης καὶ τῆς οὐσίας τῶν ψάμμων. αἱ ἀναθυμιάσεις γὰρ αἱ ἀναβαίνουσαι, ὅταν συμπαγῶσι, δύνανται συμπεριλαβεῖν τὴν αἰτίαν τῆς τῶν βοτανῶν ὑπάρξεως· καταπίπτει γὰρ ἀὴρ ἐντεῦθεν, καὶ δροσίζει τὸν τόπον, καὶ προέρχονται ἐξ αὐτοῦ διὰ τῆς δυνάμεως τῶν ἀστέρων τὰ εἴδη τῶν σπερμάτων. ὕλη δὲ ἀναγκαία ἐστὶ τὸ ὕδωρ, εἰ καὶ διαφορά ἐστιν ἐν τῷ γένει τοῦ ὕδατος. τὸ γὰρ ἀνερχόμενον οὐκ ἔστιν εἰ μὴ ὕδωρ γλυκύ· τὸ δὲ ἁλμυρὸν βαρύ ἐστι, καὶ οὐ συναναβαίνει τῷ γλυκεῖ. τὸ δὲ ὑπερβαῖνον τοῦτο τὸ λεπτότερόν ἐστι τοῦ ὕδατος. ὃ δὴ ἐὰν ἐφελκυσθείη ὑπὸ τοῦ ἀέρος, λεπτύνεται καὶ ἐπὶ πλέον ἀναβαίνει, κἀντεῦθεν γίνονται πηγαὶ καὶ ποταμοὶ ἐν τοῖς ὄρεσι, καὶ εἰς πολὺ διατρέχουσι. καὶ σημεῖον τούτου ἐστὶ τὸ αἷμα τὸ ἀνερχόμενον εἰς τὸν ἐγκέφαλον. ὥσπερ γάρ τι ἐκ τῶν τροφῶν μετὰ τῆς ἀναθυμιάσεως ἀνέρχεται, οὕτω καὶ εἰς πάντα τὰ ὕδατα. καὶ γάρ καί τι τοῦ ὕδατος τοῦ ἁλυκοῦ ἄνεισι μετ' ἐκείνου ὃ ἐξήρανεν ἡ θερμότης, εἰς τὸ εἶδος τοῦ ἀέρος, ὅς ἐστιν ἀκριβῶς ὑπεράνω παντὸς γλυκέος ὕδατος καὶ ἁλμυροῦ. παρά-

6 διὰ τοῦτο om. *N*a ‖ 13 καὶ τῆς οὐσίας om. *N*a ‖ 28 οὐ *N*a ‖ 29 εἰς om. *N*a

δειγμα δὲ τοῦ λόγου τούτου εὑρήκαμεν ἐν τοῖς βαλανείοις πολλάκις. ὅταν γὰρ τὸ ὕδωρ τὸ ἁλμυρὸν καταλάβῃ θερμότης, λεπτύνει τὰ μέρη αὐτοῦ, ἀναβαίνει τε ἀναθυμίασις, ἥτις ἦν ἐν τῷ ἐδάφει τοῦ βαλανείου, καὶ ἀναχωροῦσι τὰ πυκνὰ μέρη τῆς ἁλυκότητος μετὰ τοῦ ὑγροῦ τοῦ φυσικοῦ (οὐδὲ γάρ εἰσιν ἐκ τοῦ γένους τοῦ ἀέρος), ἵνα ἀκολουθήσωσι τῇ ἀναθυμιάσει, ἥτις μία μετὰ τὴν ἄλλην προχωρεῖ ἄνω. ὅταν γοῦν προχωρήσωσι πολλαί, καταπιέζεται ὁ ὄροφος, κἀντεῦθεν συνάγεται καὶ συμπήγνυται καὶ ἐπιστρέφει καὶ κάτω στάζει τὸ ὕδωρ τὸ γλυκύ. καὶ οὕτως ἐν πᾶσι τοῖς βαλανείοις τοῖς ἁλμυροῖς ἐστὶν ὕδωρ γλυκύ. αἵ τοίνυν βοτάναι αἵ φυόμεναι ἐν τοῖς ὕδασι τοῖς ἁλυκοῖς οὐκ ὀφείλουσιν ἔχειν πληθυσμὸν διὰ τὴν ξηρότητα. καὶ γὰρ τὸ φυτὸν δύο δεῖται, ὕλης λέγω καὶ τόπου, τῇ ἰδίᾳ φύσει ἁρμοζόντων. ὅταν γοῦν τὰ τοιαῦτα δύο παρῶσιν ὁμοῦ, προκόπτει τὸ φυτόν. ὅταν δὲ εὕρωμεν ὕλην πορρωτάτω τῆς εὐκρασίας, ἐπικενῆς ἐστίν· ἐμποδὼν γάρ ἐστι τῷ εἶναι τὸ ἐν τόπῳ εἶναι μὴ εὐκραεῖ. ἔτι κοινῶς οὐχ εὑρίσκομεν φυτὸν ἐν χιόνι, πλὴν βλέπομέν ποτε φυτὸν φαινόμενον ἐν αὐτῇ, καί τινα ζῷα, καὶ ἐξαιρέτως ἕλμινθας. οὗτοι γὰρ γεννῶνται ἐν τῇ χιόνι, καὶ φλόμος, καὶ πᾶσαι βοτάναι πικραί. ἀλλ' ἡ χιὼν οὐ ζητεῖ προχωρεῖν ἐπὶ τούτῳ, ἂν μὴ καὶ συζευχθείη τις αἰτία ἐν αὐτῇ. καὶ αὕτη ἐστὶν ὅτι ἡ χιὼν κατέρχεταί ποτε ὁμοία καπνῷ, συμπήγνυσί τε ταύτην ἄνεμος καὶ συσφίγγει ἀήρ. πλὴν γίνεται καὶ ἀραιότης τις ἐν τοῖς μέρεσιν αὐτῆς· κατέχεται γὰρ ἐν τούτοις θερμόν τι μέρος ἀέρος, μένει τε ἐξ αὐτοῦ καὶ ὕδωρ σεσημμένον. ὅταν γοῦν ὁ ἀὴρ ὁ ἐγκεκλεισμένος πλείονος γένηται πλατύνσεως καὶ ὁ ἥλιος παρουσιάσηται, ἀπορρήγνυται ὁ ἀὴρ ὁ συμπιληθεὶς ἐν τῇ χιόνι, καὶ φαίνεται ἡ ὑγρότης ἡ σεσημμένη, ἥτις καὶ συμπήγνυται

6 οὐδὲ — ἀέρος: 'quia est ex genere aeris' Alfredus ‖ 7 προσχωρεῖ et 8 προσχωρήσωσι N^a ‖ 26 μένει τε: 'manatque' Alfredus. Noster legit 'manetque'

μετὰ τῆς θερμότητος τοῦ ἡλίου· καὶ οὕτω φύονταί τινες βοτάναι. ἐὰν δὲ ᾖ ὁ τόπος περικεκαλυμμένος, οὐ γίνονται ἐν αὐτῷ βοτάναι ἀλλ' ἢ ἄνευ φύλλων· ἀπεχώρησε γὰρ ἀπ' αὐτοῦ ἡ εὐκρασία τῆς γῆς, ἡ ὁμογενὴς αὐτῇ. ὅθεν ἄνθη καὶ φύλλα ἐν βοτάναις μικραῖς μεμιγμένα εὑρίσκονται ἐν τόποις κεκραμένοις καθαρῶς δι' ἀέρος καὶ ὕδατος· ἐν ἑτέροις δὲ μὴ τοιούτοις σπάνιά εἰσι τὰ ἄνθη καὶ τὰ φύλλα τῶν φυτῶν τῶν συμβαινόντων ἐν τῇ χιόνι. ὁμοίως καὶ ἐν τόποις πολλοῖς ἁλμυροῖς καὶ ξηροῖς ὡς ἐπὶ τὸ πλεῖστον οὐ φαίνεται φυτόν. οὗτοι γὰρ οἱ τόποι πόρρω εἰσὶν εὐκρασίας· ἐλαττονεῖται γὰρ ἡ γῆ, ἐξ ἧς μακράν εἰσιν ὑγρότης καὶ θερμότης, ἅπερ εἰσὶ διὰ γλυκέος ὕδατος. γίνεται δέ ποτε ἡ γλυκερὰ γῆ νεκρά, καὶ τότε οὐ γεννῶνται ὀξέως ἐν αὐτῇ βοτάναι. ἐν τόποις δὲ θερμοῖς, ὅπου ἔστιν ὕδωρ γλυκὺ καὶ θερμότης πολλή, προφθάνει πέψις ἐκ τῶν δύο μερῶν, ἐκ τῆς διαθέσεως τοῦ τόπου μετὰ καὶ τοῦ ἀέρος τοῦ ἐν αὐτῷ ὑπάρχοντος. ἡ δὲ πέψις τοῦ ἀέρος ἐκ τῆς θερμότητός ἐστι τοῦ ἡλίου τῆς ἐν ἐκείνῳ τῷ τόπῳ. ἐντεῦθεν καὶ τὰ ὄρη ἐφέλκονται ὑγρότητα, βοηθεῖ τε αὐτοῖς καὶ ἡ θερμότης τοῦ ἀέρος. ἐπισπεύδει δὲ καὶ ἡ πέψις· καὶ διὰ τοῦτο τὰ φυτὰ ὡς ἐπὶ τὸ πολὺ ἐν τοῖς ὄρεσι φύονται. ἐν δὲ τοῖς ψάμμοις νικᾷ, ὡς προέφημεν, ἡ ἁλμυρότης, καὶ ἀπομένουσιν ἐν τοῖς μέρεσι τῆς ψάμμου ἀραιότητες ὅμοιαι πρὸς ἀλλήλας. ὁ τοίνυν ἥλιος οὐκ ἔχει δύναμιν ἵνα ἐν αὐταῖς ἀπαρτίσῃ καὶ βεβαιώσῃ συνέχειαν οὐσίας. τῷ τοι καὶ φυτὰ ἐν αὐταῖς ὡς τὰ πολλὰ οὐ γίνονται· εἰ δὲ καὶ γίνονται, οὐ κατὰ εἴδη ἴδια καὶ διάφορα, ἀλλὰ κατὰ εἴδη ὅμοια πρὸς ἄλληλα.

3 *ἢ ἀλλ'* Nᵃ ‖ 6 *ἐν*] *καὶ ἐν* Nᵃ ‖ 12 *διὰ*] *ἴδια* Bussemaker e Parisino ‖ *ὕδατος. οὐ γίνεται* Nᵃ ‖ 13 *γῆ νεκρὰ*: 'terra montuosa' Alfredus. Videtur noster legisse 'mortuosa' et inde factum, ut in sequentibus adderet negationem; nam Alfredus habet: 'et cito nascuntur ibi plantae' ‖ 21 *ταῖς ψάμμοις* Bussemaker

4 *Τὰ δὲ φυτὰ ἃ ἐν τῇ ἐπιφανείᾳ τοῦ ὕδατος γεννῶνται, οὐκ ἄλλως γεννῶνται εἰ μὴ διὰ τὸ πάχος τοῦ ὕδατος. ὅταν γὰρ θερμότης ἅψηται τοῦ ὕδατος, ἥτις ἄνω που οὐκ ἔχει* 82 *πῶς ἂν κινηθείη, τότε προέρχεται ἐπ' αὐτὴν παρόμοιόν τι νεφέλῃ, ὀλίγον τε τοῦ ἀέρος κατέχει, καὶ σήπεται τὸ τοιοῦτον ὑγρόν, ἐφέλκεταί τε αὐτὸ ἡ θερμότης, ἥτις ἐκτείνεται εἰς τὴν ὄψιν τοῦ ὕδατος, καὶ γίνεται ἐντεῦθεν φυτόν. οὐκ ἔχει δὲ ῥίζαν, ὅτι ἡ ῥίζα ἐν τοῖς μέρεσιν ἑδράζεται τῆς γῆς, ἔχουσα μέρη διῃρημένα. οὐκ ἔχει δὲ πάλιν οὐδὲ φύλλα, ὅτι μακράν ἐστιν ἀπὸ τῆς εὐκρασίας, καὶ οὐδὲ τὰ μέρη αὐτοῦ εἰσὶ συμπεπηγότα. τοῦτο δὲ τὸ φυτὸν οἷον εἰς ὁμοιότητα φύλλων γεννᾶται, καὶ καλεῖται ἐπίπτερον. τῶν δὲ λοιπῶν φυτῶν τῶν ἐν τῇ γῇ, ἐπεὶ τὰ τῆς γῆς μέρη εἰσὶ συμπεπηγότα, καὶ τὰ μέρη ἐξ ἀνάγκης τούτων εἰσὶ τοιαῦτα. τὰ γοῦν φυτὰ τὰ ἐκ τῆς γῆς συμπεπηγότα γίνονται ἐκ σήψεων ἐν τόπῳ ὑγρῷ καὶ καπνώδει. αἱ γὰρ σήψεις κατέχουσιν ἀέρα· καὶ ὅταν πληθύνωνται οἱ ὑετοὶ καὶ οἱ ἄνεμοι, ὁ ἥλιος φαίνεσθαι ποιεῖ αὐτάς, κατεπείγει τε ξηραίνεσθαι καὶ συμπήγνυσθαι, καὶ ἡ ξηρότης τῆς γῆς τὰς ῥίζας αὐτῶν ποιεῖ· καὶ γίνονται ἐντεῦθεν φυτὰ καὶ μύκητες καὶ ὕδνα καὶ τὰ ὅμοια. πάντα δὲ ταῦτα γίνονται ἐν τόποις θερμοῖς κατὰ λόγον, διὸ ἡ θερμότης πέττει τὸ ὕδωρ ἐν τοῖς ἐνδοτέροις τῆς γῆς, κατέχει τε ταύτην ὁ ἥλιος, καὶ γίνεται ἀναθυμίασις, καὶ ἐντεῦθεν συμβαίνει ἡ ἀλλοίωσις εἰς φυτόν. ὁμοίως καὶ ἐν πᾶσι τόποις ὡς ἐπὶ τὸ πλεῖστον θερμοῖς πληροῦται ἡ τοῦ φυτοῦ ἀπάρτισις. οἱ δὲ τόποι οἱ ψυχροί, εἰ καὶ οὗτοι τὸ ὅμοιον ποιοῦσί ποτε, πλὴν ἐκ τοῦ ἐναντίου. ὁ γὰρ ψυχρὸς ἀὴρ τὸν θερμὸν συμπιέζει κάτω, συμπήγνυσί τε τὰ μέρη αὐτοῦ, καὶ ὁ τόπος ἕψησιν πάσχει μετὰ τῆς προσούσης ὑγρότητος αὐτῷ· τοῦ γοῦν περισσοῦ ὑγροῦ ξηρανθέντος σχίζεται ὁ τόπος,*

12 *ἐπίπετρον* malebat Sylburg ‖ 20 *ὕδνα* Sylburg: *οἴδνα* codd. ‖ 21 *διὸ*] *διότι* Bussemaker

καὶ ἐξέρχονται ἐξ αὐτοῦ φυτά. ἐν τόποις δὲ γλυκεροῖς, ἐν οἷς τὸ ὕδωρ μὴ ἐπὶ πολὺ συμβαίνει χωρίζεσθαι, ὁπόταν ὁ ἀὴρ τῇ γῇ ἐγκλειόμενος ξηρανθῇ, ἡ ὑγρότης τε τοῦ ὕδατος συμπαγῇ, καὶ ὁ αὐτὸς ἀὴρ μείνῃ ἐν τοῖς ἐνδοτέρω τοῦ ὕδατος, ἐξέρχονται φυτά, ὡς τὸ νοῦφαρ τὸ ἰατρικόν, καὶ εἴδη βοτανῶν ἄλλα πολλῶν καὶ σμικρῶν, ἃ δὴ τοιουτοτρόπως γεννῶνται. πλὴν οὐκ εἰσὶν ἐκτεταμένα, διότι αἱ ῥίζαι αὐτῶν εἰσὶν ἐπιπολαίως ἐν τῇ γῇ. ἐν τόποις ὡσαύτως ἐν οἷς ὕδωρ θερμὸν τρέχει, πολλάκις φυτὰ γεννῶνται, διότι ἡ θερμότης τοῦ ὕδατος ἐφέλκεται ἀναθυμιάσεις προσφάτους ἐπὶ τῆς γῆς, ἡ δὲ ψυχρὰ φύσις τῆς ὑγρότητος τοῦ ὕδατος ὑποκάτω ἀπομένει, καὶ συμπήγνυται ὁ ἀὴρ ὁ ἐν τούτῳ τῷ ὑγρῷ. καὶ ὅταν πεφθῇ ἡ θερμότης τοῦ ἀέρος, πάλιν ἐν τούτῳ γεννᾶται τὸ φυτόν, οὐκ ἄλλως εἰ μὴ ἐν καιρῷ πολλῷ. αἱ βοτάναι δὲ αἱ μικραί, αἱ φαινόμεναι ἐν τόποις θεαφώδεσι, γίνονται ὅταν ἄνεμοι ὀξέως πνέωσιν ἀντίπνοιάν τε ποιῶσι καὶ ἀντιπλήττωσιν ἀλλήλους, καὶ ἐξεγερθῇ ἀὴρ ὁ ἐν αὐτοῖς καὶ θερμανθῇ ὁ τόπος καὶ γένηται ἐντεῦθεν πῦρ, καὶ μετὰ ταῦτα γεννηθῇ ὅπερ ἐστὶν ἐν τῷ βάθει ἀρσενίκιον, ὃ καταβαίνει ἐκ τῆς ἰλύος τοῦ ἀέρος, καὶ ἐφέλκεται πῦρ μετὰ σήψεως (τοῦτο γὰρ τὸ ἀρσενίκιον)· τότε γὰρ γίνεται ἐκ τούτου φυτά. οὐ πολλὰ δὲ ταῦτα προβάλλεται φύλλα, καθὼς προαπεδείξαμεν, ὅτι ἡ εὐκρασία ἐκ τούτων πόρρω ἐστίν. ὅπερ δὲ φέρει τρόφιμόν τι φυτόν, ἐκεῖνο φύεται ἐν τόποις θερμοῖς καὶ κούφοις καὶ ὑψηλοῖς, καὶ μᾶλλον ἐν τῷ κλίματι τῷ τρίτῳ καὶ τῷ τετάρτῳ· καὶ πάλιν ὃ δένδρον ποιεῖ τι ἐγγὺς τροφίμου, ἐκεῖνο γεννᾶται ἐν τόποις ὑψηλοῖς καὶ ψυχροῖς. καὶ διὰ τοῦτο πληθύνονται τὰ εἴδη ἐν τόποις τοιούτοις, διὰ τὴν ἐφέλκυσιν τοῦ ὑγροῦ καὶ τὴν εὐκρασίαν τὴν ἐκ τῆς θερμό-

1 *αὐτοῦ τὰ φ.* N^a ‖ 10 *προσφάτους*: 'retentos' Alfredus. Noster legisse videtur 'recentes' ‖ 12 *μένει* N^a ‖ 17 *ὁ ἀὴρ ὁ* Bussemaker e Parisino ‖ 21 *γὰρ* prius om. N^a ‖ 24 *καὶ* om. N^a ‖ *κούφοις*: 'lenibus' Alfredus. Legit noster 'levibus'

τητος τοῦ ἡλίου ἐν ἡμέραις χειμεριναῖς. ὁμοίως καὶ ὁ πηλὸς ὁ ἔμφυτος ὀξέως προάγει φυτὰ πίονα· ἡ συμπίλησις γὰρ τῆς ὑγρότητος τούτου ἐν τόποις γλυκεροῖς γίνεται, ὡς προειρήκαμεν.

5 Πάλιν τὸ φυτὸν τὸ ἐν τοῖς λίθοις τοῖς στερροῖς γεννώμενον μακρῷ χρόνῳ συμβαίνει. ὁ γὰρ ἀὴρ ὁ ἐμπεριειλημμένος τούτοις βιάζεται ἀναβῆναι, ἔξοδον δὲ μὴ εὑρίσκων διὰ τὴν ἰσχυρότητα τῶν λίθων ἐπαναστρέφει καὶ θερμαίνει ἑαυτόν, ἐφέλκεταί τε τὸ ὑγρὸν τὸ ἐναπολειφθὲν τοῖς λίθοις ἄνω, ἐξέρχεταί τε ἀναθυμίασις σὺν ὑγρότητι, μετὰ ἀναλύσεως σμικροτάτων μερῶν τῶν ἐν τοῖς λίθοις. καὶ γὰρ πολλάκις ἔθος ἐστὶ τοῖς λίθοις ἵνα βοηθῇ αὐτοῖς ὁ ἥλιος διὰ τῆς ἰδίας πέψεως. καὶ οὕτω γεννᾶται ἐξ αὐτῶν φυτόν. ὃ δὲ οὐκ ἀναβαίνει, ἐὰν μὴ πλησίον ᾖ γῆς ἢ ὑγροῦ. ἡ γὰρ ὑπόστασις τοῦ φυτοῦ δεῖται γῆς ὕδατος καὶ ἀέρος. κατανοείσθω τοιγαροῦν τὸ φυτόν· καὶ εἰ ἔστι πλησίον τοῦ ἡλίου, ταχέως γεννᾶται, εἰ δέ ἐστιν ὁ ἥλιος εἰς δυσμάς, βραδύνει. πάλιν τὸ φυτὸν ἐν ᾧ κυριεύει τὸ ὕδωρ, οὐ παραχωρεῖ τῷ ἀέρι ἀναβαίνειν, καὶ διὰ τοῦτο οὐ τρέφεται. ὁμοίως καὶ ἡ ξηρότης ὅταν κρατήσῃ, ἀναστρέφει ἡ φυσικὴ θερμότης εἰς τὰ ἄκρα, καὶ βύει τοῦ φυτοῦ τὰς ὁδοὺς δι' ὧν οἱ πόροι· καὶ διὰ τοῦτο οὐ τρέφεται τὸ φυτόν.

6 Καθολικῷ δὲ λόγῳ πᾶν φυτὸν τεττάρων τινῶν δεῖται, σπέρματος διωρισμένου, τόπου ἁρμοδίου, ὕδατος συμμέτρου καὶ ἀέρος ὁμοίου. ὅταν οὖν ταῦτα πάντα συντελεσθῶσι, γεννᾶται φυτὸν καὶ αὐξάνει· ὅτε δὲ ταῦτα ἀποχωρήσουσιν, ἀσθενεῖ τῇ ἀποχωρήσει καὶ τὸ φυτόν. πάλιν τὸ φυτὸν τὸ προϊὸν ἐν ὄρεσιν ὑψηλοῖς, εἰ ἔσται εἶδος, ἔσται προχειρότερον καὶ προσφυέστερον εἰς ἰατρείαν· ὁ καρπὸς δὲ ὁ σκληρότερος εἰς πέψιν οὐχ ὡς ἐπὶ τὸ πολὺ τρέφει. τόποι δὲ ἀπομεμα-

14 ᾖ τῆς γῆς Na ‖ 15 δεῖται τῆς γῆς Na ‖ 17 εἰς] πρὸς Bussemaker e Parisino

κρυσμένοι τοῦ ἡλίου οὐκ εἰσὶ πολλῶν βοτανῶν γεννητικοί. ὁμοίως ἐὰν ὁ ἥλιος μακρότητα τῇ ἡμέρᾳ προσάγῃ ἐν τῇ κινήσει αὐτοῦ καὶ κατακυριεύῃ τῆς ὑγρότητος, οὐκ ἔχει τὸ φυτὸν δυνάμεις φύλλα καὶ καρποὺς προάγειν. τί δὲ καὶ περὶ τῶν φυτῶν χρὴ νοεῖν, ἃ γεννῶνται ἐν ὑδαρώδεσι τόποις; ἐν τούτοις ὅτε τὸ ὕδωρ ἠρεμεῖ, γίνεταί τι καθάπερ ἰλύς, καὶ οὐκ ἔστι δύναμις ἐν τῷ ἀέρι ἵνα ὑποστήσῃ τὰ μέρη τοῦ ὕδατος. κατέχεται γὰρ αὐτὸς ὁ ἀὴρ ἐν τοῖς ἐνδοτέροις τῆς γῆς, καὶ κωλύει τὴν παχύτητα τοῦ ὕδατος ἀναβαίνειν. εἰ γοῦν πλημμυρήσῃ ἄνεμος ἐν ἐκείνῳ τῷ τόπῳ καὶ συσφιγχθῇ ἡ γῆ, συμπιέσῃ τε ἑαυτὸν ὁ ἐμπεριειλημμένος ἀήρ, καὶ συμπήξῃ ὁ ἄνεμος τὴν ὑγρότητα, προελεύσεται ἐκ ταύτης τῆς ὑγρότητος φυτὰ οὐ πολὺ διαφέροντα ἀλλήλων ἐν εἴδει καὶ σχήματι, διὰ τὴν διαμονὴν καὶ τὴν παχύτητα τοῦ ὕδατος καὶ τὴν θερμότητα τοῦ ἡλίου ἄνωθεν. πάλιν περὶ τῶν φυτῶν ἅ εἰσιν ἐν τόποις ὑγροῖς, καὶ ἡ ἐπιφάνεια αὐτῶν φαίνεται ἐν τῇ ὄψει τῆς γῆς χλοάζουσα, λέγω ὅτι ἐν ἐκείνῳ τῷ τόπῳ μικρά ἐστιν ἀραιότης. ὅταν οὖν ἐμπεσὼν ὁ ἥλιος κινήσῃ τὴν ἐν ἐκείνῳ ὑγρότητα, καὶ θερμάνῃ τὸν τόπον τῇ συμβαινούσῃ κινήσει καὶ τῇ θερμότητι τῇ ἐμπεριειλημμένῃ τοῖς ἐνδοτέροις τῆς γῆς, ὅπερ δὴ οὐ συμβαίνει ἐν οἷς οὐκ ἔχει τὸ φυτὸν ὅθεν ἂν αὐξηθῇ, καὶ ἡ ὑγρότης τῇ ἰδίᾳ ἐκτάσει διαχυθῇ, γίνεται καπνὸς ὑπεράνω τῆς γῆς ὡς ὕφασμα χλοάζον, κἀντεῦθεν γεννᾶται φυτὸν μὴ ἔχον φύλλα, ὑπάρχον ἐκ τοῦ γένους τοῦ φυτοῦ τοῦ φαινομένου εἰς τὴν ἐπιφάνειαν τοῦ ὕδατος. ἔστι δὲ μεῖζον ἐκείνου, διότι πλησίον ἐστὶ τῆς γῆς, εἰ καὶ οὐκ ἀναβαίνειν καὶ ἐπεκτείνεσθαι δύναται. πολλάκις δὲ καὶ ἐν φυτοῖς ἄλλο φυτὸν γεννᾶται οὐ τοῦ αὐτοῦ εἴδους καὶ τῆς αὐτῆς ὁμοιώσεως, ἄνευ ῥίζης. κινεῖται δὲ τοῦτο οὕτως· ὁπόταν φυτὸν πολλῶν ἀκανθῶν ἐν πίονι ὕδατι

3 καὶ κατακυριεύῃ] κατακυριεύει Nᵃ ‖ 5 ὑδρώδεσι Nᵃ ‖ 10 πλημμυρήσει et 11 συμπιέσει et συμπήξει Nᵃ ‖ 17 τῇ ὄψει] τοῖς τόποις Nᵃ ‖ 20 περιειλημμένη Nᵃ

κινήσῃ ἑαυτό, ἀνοίγονται τὰ μέρη αὐτοῦ, καὶ ἀνιμᾶται ὁ ἥλιος τὰς ἐν αὐτῷ σήψεις, πέψιν τε ποιεῖ τούτῳ, καὶ τῇ ἰδίᾳ φύσει εἰς τὸν τόπον τὸν σεσημμένον βοήθειαν χορηγεῖ μετὰ θερμότητος εὐκράτου, κἀντεῦθεν αὐξάνει τὸ φυτόν, ὡς δοκεῖν νήματα ἐκτείνεσθαι εἰς ὅλον αὐτό. καὶ τοῦτο ἴδιόν ἐστι τοῖς φυτοῖς τοῖς ἔχουσι πολλὰς ἀκάνθας. τότε γοῦν 827a γεννᾶται βοτάνη ἡ λεγομένη λινόζωστις καὶ τὰ ταύτῃ ὅμοια. πᾶσαι δὲ αἱ βοτάναι, καὶ εἴ τι αὐξάνει ἐπάνω τῆς γῆς καὶ ἐν τῇ γῇ, πρόεισιν ἔκ τινος τούτων τῶν πέντε, ἅ εἰσι σπέρμα, ὑγρότης ἐξ ὕδατος, τόπος ἐπιτήδειος, ἀὴρ καὶ φυτεία. καὶ ταῦτα τὰ πέντε εἰσίν, ὡς ἂν εἴποι τις, ῥίζαι φυτῶν.

7 Τριπλῶς δὲ ἡ τῶν δένδρων εὐπορία ἀκολουθεῖ· ἢ γὰρ προάγουσι τοὺς καρποὺς πρὸ τῶν φύλλων, ἢ σύναμα τοῖς φύλλοις, ἢ μετὰ τὰ φύλλα. ἔστι τοίνυν φυτὸν ὅπερ οὐκ ἔχει ῥίζαν ἢ φύλλα· ἔστι καὶ ὅπερ φέρει φιτρὸν ἄνευ καρποῦ καὶ φύλλων, ὡς ἡ λεγομένη χρυσοκόμη ἢ χρυσῖτις. ἀλλὰ τὰ φυτὰ ἃ καρπὸν πρὸ τῶν φύλλων προάγουσι, πολλὴν ἔχουσι τὴν πιότητα. ὅταν γοῦν ἐκταθῇ ἡ θερμότης ἡ οὖσα φυσικῶς τῷ φυτῷ, ταχύνει καὶ ἡ τούτου πέψις, ῥώννυνταί τε καὶ ζέει ἐν τοῖς κλάδοις τοῦ φυτοῦ, κωλύει τε τὸν χυμὸν ἵνα μὴ ἀναβαίνῃ ἀπ' αὐτοῦ· κἀντεῦθεν προχωροῦσι καρποὶ καὶ φύλλα. ἐν δὲ τοῖς φυτοῖς ἃ ταχύτερον τὰ φύλλα προάγουσι, τί νοητέον; αἱ διαθέσεις τῶν ὑγρῶν εἰσὶ πολλαί. ὁπόταν γοῦν ἡ θερμότης τοῦ ἡλίου ἄρξηται διασπείρειν τὰ μέρη τοῦ ὕδατος, ἄνω ἐφέλκεται ὁ ἥλιος τὰ μέρη τῆς ὑγρότητος, καὶ βραδύνει ἡ πεπειρότης, διότι ἡ πέψις τοῦ καρποῦ οὐκ ἔστιν εἰ μὴ ἐν συμπήξει, καὶ προηγοῦνται τὰ φύλλα τῶν καρπῶν τῇ προσαγωγῇ τῆς πολλῆς ὑγρότητος. πολλάκις δὲ συμβαίνει αὐτοῖς καὶ πιότης, ὁπόταν ἡ ὑγρότης ἡ ἐν τῷ φυτῷ πέψιν λάβῃ καὶ ἀναβῇ ἐξ αὐτῆς ἀτμὶς πυκνή,

11 εἴπῃ N^a ‖ 18 ἐκταθῇ Bussemaker e Parisino: ἐκταθείη N^a ‖ 19 παχύνει N^a ‖ 23 διαθέσεις: 'effectus' Alfredus. Videtur 'affectus' legisse noster ‖ 29 ἡ (ante ἐν) et 30 ἀτμὶς om. N^a

καὶ ἑλκύσῃ αὐτὴν ὁ ἀὴρ μετὰ τοῦ ἡλίου· τότε γὰρ ἐξέρχεται ἐκ τῆς ὑγρότητος ἐκείνης καὶ πιότης καὶ καρπὸς καὶ φύλλα μιᾷ ἐκθέσει. οἱ παλαιοὶ δὲ σοφοὶ τὰ φύλλα πάντα καρποὺς εἶναι διεβεβαιοῦντο. ἰστέον οὖν ὡς ὁπόταν ἡ ὑγρότης ἐστὶ τόση ὥστε μὴ πεπαίνεσθαι μηδὲ συμπήγνυσθαι διὰ τὴν ἐκ τοῦ ἀέρος ἀνάπτυξιν καὶ τὴν ἄνωθεν σπουδὴν τῆς ἐφελκύσεως τοῦ ἡλίου, τότε ἡ ὑγρότης αὕτη, εἰς ἣν οὐκ ἐνηργήθη πέψις, ἀλλοιοῦται εἰς φύλλα· ἃ δὴ οὐκ ἔχουσιν ἄλλον σκοπὸν εἰ μὴ τὴν ἐφέλκυσιν τῆς ὑγρότητος, καὶ ἵνα ὦσι καὶ περικαλύμματα τῶν καρπῶν ἀπὸ τῆς σφοδρότητος τοῦ ἡλίου. οὐ τοίνυν ὁμοίως δεῖ ἵνα τὰ φύλλα ὦσιν ὡς οἱ καρποί· ὁ γὰρ χυμὸς ὁ ἀναβαίνων ἀλλοιωθείς, οὗτός ἐστι τὰ φύλλα, ὡς εἴπομεν. τοιουτοτρόπως ἐστὶν ἡ κρίσις καὶ ἐν ταῖς ἐλαίαις, αἳ πολλάκις στερίσκονται τῶν ἰδίων καρπῶν.
7b ὁπόταν γὰρ ἡ φύσις πέψιν ποιήσῃ, ἀναβαίνει πρώτως ἐκ τῆς λεπτότητος, ὅπερ οὐκ ἐπεπάνθη ἐκ τῆς θερμότητος. ἔστιν οὖν αὕτη ἡ ὑγρότης φύλλα. ἡ δὲ πέψις ἐστὶν ἄνθος. ὅταν δὲ τελειωθῇ τῷ δευτέρῳ ἔτει ἡ πέψις, γεννῶνται καρποί, καὶ ἐκβαίνει εἰς τέλος ἡ ὕλη κατὰ τὸν τόπον τὸν ἐν αὐτοῖς. αἱ ἄκανθαι ὡσαύτως εἰσὶν ἐκ τοῦ γένους τῶν φυτῶν, οὐ μὴν τῆς αὐτῆς φύσεως. λέγω γοῦν ὅτι ἐν τῷ φυτῷ ἐστὶν ἀραιότης, καὶ ἐν τῇ ἀρχῇ τῆς φύσεως αὐτοῦ ἐστὶ πέψις, καὶ ἀναβαίνει ὑγρότης ψυχρὰ καὶ μετ' αὐτῆς βραχεῖα διάκρισις, διερχομένη ἐν ἐκείνῃ τῇ ἀραιότητι. ποιεῖ γοῦν ταύτην συμπήγνυσθαι ὁ ἥλιος, κἀντεῦθέν εἰσιν αἱ ἄκανθαι. διὰ τοῦτο καὶ τὸ εἶδος αὐτῶν ἐστὶ πυραμοειδές· ἔστι γὰρ ἡ βάσις αὐτῶν ἀρχομένη ἀπὸ παχέος καὶ προχωροῦσα εἰς ἰσχνόν. τοῦτο δὲ γίνεται, διότι κατὰ βραχὺ ὁ ἀὴρ ἐπεκτεινόμενος τῷ φυτῷ αὐξάνει τὰ μέρη αὐτοῦ μετ' ἐπιτάσεως

4 ὁπόταν] ὅτε Bussemaker e Parisino ‖ 5 πήγνυσθαι *N*a ‖ 7 οὐκ om. *N*a ‖ 13 καὶ om. *N*a ‖ 19 αὐταῖς *N*a ‖ 27 παχέων *N*a

τῆς ὑλικῆς. τοιουτοτρόπως καὶ πᾶν δένδρον ἢ φυτὸν γίνεται, οὗ ἡ κεφαλή ἐστι πυραμοειδής.

8 Ἡ χλοάζουσα δὲ χροιὰ ὀφείλει εἶναι πρᾶγμα κοινότατον ἐν τοῖς δένδροις. βλέπομεν γὰρ ὅτι, ὥσπερ κοινή ἐστιν ἡ λευκότης ἐντός, οὕτως καὶ ἡ χλοερότης ἐκτός. καὶ τοῦτό ἐστιν, ὅτι ὕλη χρῶνται πλησιωτέρᾳ ἤγουν μᾶλλον πεπεμμένῃ. δεῖ τοίνυν ἵνα ᾖ χλοερότης ἐν πᾶσι τοῖς φυτοῖς, ὅτι αἱ ὗλαι ἕλκουσι καὶ ἀραιοῦσι τὸ ξύλον τοῦ δένδρου, βραχεῖάν τε ἡ θερμότης πέψιν ἐργάζεται, καὶ ἀπομένει τι ἐκεῖ ὑγρόν, ὃ φαίνεται ἔξωθεν· καὶ τοῦτό ἐστιν ἡ χλοερότης ἡ ἐν τοῖς φυτοῖς, ἐὰν μὴ μείζων γένηται ἡ πέψις. ὀφείλει δὲ εἶναι μέση ἐν τοῖς φύλλοις καὶ ἐν τοῖς ξύλοις τῇ δυνάμει. ἡ δὲ χλοερότης οὐ φθείρεται, ἐὰν ᾖ ὑγρότης ἐν αὐτῇ, ἥτις ἐστὶν ἐκ τοῦ γένους τῆς γῆς. ἐξ ἀμφοτέρων γοῦν τούτων ἡ χροιὰ γίνεται ἡ χλοερά. τούτου σημεῖον ὅτι οἱ φλοιοὶ τοῦ δένδρου, ὅταν ξηραίνηται αὐτό, μελαίνονται, ἐντὸς δέ εἰσι λευκοί. ἐν τοῖς δένδροις γοῦν μεταξὺ τῶν δύο χρωμάτων χρῶμα χλοερὸν γίνεται ἐν τῇ ἐπιφανείᾳ αὐτῶν. τοῦ δὲ σχήματος τῶν φυτῶν τρεῖς εἰσὶ τρόποι· τινὰ γὰρ ἄνω προχωροῦσι, τινὰ κάτω, τινὰ μέσον. τὰ μὲν οὖν ἄνω ἐκτεινόμενα ἔχουσιν αἰτίαν, ὅτι ἡ φύσις αὐτῶν φαίνεται ἐν τῇ ἐντεριώνῃ, καὶ ἕλκει τὴν θερμότητα, καὶ συμπιέζει ἐν ἑαυτῇ τὸν ἀέρα τὸν ὄντα ἐν ταῖς ἀραιότησιν αὐτῆς. πυραμιδοῦνται δέ, ὥσπερ πυραμιδοῦται τὸ πῦρ ἐν ταῖς ἰδίαις ὕλαις καὶ κουφίζεται. ὅσα δὲ κάτω ἐκτείνεται, τούτων οἱ πόροι συμπήγνυνται. ὅταν γὰρ πέψις γένηται, τότε ἡ ὕλη πυκνοῦται τοῦ ὑγροῦ, ἐν ᾧ ἐστὶν ἡ ἐντεριώνη. κἀντεῦθεν ἐκπορεύεται μὲν τὸ λεπτὸν ἄνω, ἐπαναστρέφει δὲ τὸ ὑγρὸν πρὸς τὰ μέρη ἐκεῖνα κάτω· κινεῖ γὰρ ταύτην ἡ οἰκεία βαρύτης. ἃ δὲ φυτὰ μέσον τῶν δύο εἰσίν, ἔχουσιν οὕτως. λεπτύνεται τὸ ὑγρόν, ὅτι ἡ φύσις τῆς εὐκρασίας γειτνιάζει τῇ πέψει, εἰσί τε καὶ οἱ πόροι μέσοι,

9 ἐκεῖ τι Nᵃ ‖ 16 μελαίνεται Nᵃ ‖ 25 γὰρ] δὲ Nᵃ

καὶ ἡ ὕλη ἐπεκτείνεται καὶ ἄνω καὶ κάτω. ἔστι δὲ ἡ μὲν πρώτη πέψις ὑπὸ τὸ φυτόν, ἡ δὲ δευτέρα ἐν τῇ ἐντεριώνῃ, ἥτις ἐξέρχεται μὲν ἀπὸ τῆς γῆς, ἔστι δὲ καὶ ἐν τῷ μέσῳ τοῦ φυτοῦ· καὶ μετὰ ταῦτα γίνεται ἡ διαίρεσις, ἥτις συμβαίνει ἀπὸ τῆς δευτέρας, οὐκ ἀπὸ τῆς πρώτης πέψεως. ἡ δὲ τρίτη πέψις ἐστὶν ἐν τῷ ζῴῳ· οὐ γὰρ γίνεται αὕτη ἡ πέψις εἰ μὴ διὰ τὴν διαίρεσιν τῆς φύσεως τῶν μελῶν καὶ τὴν διάστασιν τῶν φυσικῶν πρὸς ἄλληλα. τὰ δὲ φυτὰ γείτονά εἰσι πρὸς ἑαυτά, καὶ διὰ τοῦτο πληθύνονται ἐν πολλοῖς τόποις. ὡς ἐπὶ τὸ πλεῖστον δὲ ἡ ὕλη τῶν φυτῶν κάτω ἐκτείνεται. τὰ σχήματα τοίνυν τῶν φυτῶν εἰσὶν ἐν τῇ φύσει καὶ τῇ ποσότητι τῶν σπερμάτων, τὰ ἄνθη δὲ τῶν φυτῶν καὶ οἱ καρποί εἰσιν ἐν ταῖς ὑγρότησι καὶ ἐν ταῖς ὕλαις. κεῖται τοίνυν ἡ πρώτη κίνησις καθολικῶς καὶ ἡ πέψις ἐν πᾶσι τοῖς ζῴοις, καὶ οὐκ ἀποχωροῦσιν ἀπ' αὐτῆς πάντα τὰ ζῷα. ἐν τοῖς φυτοῖς δέ ἐστιν ἡ πρώτη πέψις, εἶτα ἡ πέπανσις κατὰ τὴν τροφὴν αὐτῶν. ἕκαστον οὖν δένδρον ἀναβαίνει ἀεί, ἔστ' ἂν πληρωθείη. αἰτία δὲ αὕτη ἐστίν, ὅτι ἐπὶ μὲν τῶν ζῴων ἑκάστου τὸ μῆκος πλησίον ἐστὶ τοῦ ἰδίου πλάτους, ἐν τῷ φυτῷ δὲ πόρρω, ὅτι ἡ ῥίζα αὐτοῦ, ἤγουν τὸ πῦρ καὶ τὸ ὕδωρ, σπεύδουσιν εἰς ἀνάβασιν, ἵνα δημιουργηθῇ τὸ φυτόν. ἡ διαφορὰ δὲ τῶν φυτῶν ἐν τοῖς κλάδοις ἐστὶν ἐκ τῆς περιττῆς ἀραιότητος. ὅταν γὰρ συμπιεσθῶσιν οἱ χυμοί, θερμαίνεται ἡ φύσις καὶ σπεύδει εἰς τὴν πέψιν, κἀντεῦθεν τυποῦνται οἱ κλάδοι καὶ φύεται τὰ φύλλα, ὡς προείπομεν.

Τὸ δὲ τὰ τῶν δένδρων φύλλα πίπτειν ἐστὶ διὰ τὴν ἐπιφορὰν τῆς ὀξείας ἀραιότητος. ὅταν γὰρ πεφθῇ ἡ ὑγρότης 9 μετὰ τῆς ὕλης, πυραμιδοῦται, καὶ μετὰ ταῦτα κατισχναίνουσι. καὶ ὅταν φανῇ ἡ ὕλη τῇ πέψει πεπληρωμένη, τότε τελείως

3 δὲ] τε Nª ‖ 17 γοῦν Nª ‖ 25 φαίνεται Nª Parisinus ‖ 30 πεπληρωμένῃ Nª

βύονται τὰ ἄκρα τῶν πόρων ἄνω. καὶ διὰ ταῦτα ἐπεὶ τὰ φύλλα οὐκ ἔχουσιν ὕλην, ξηραίνονται καὶ πίπτουσιν. ἐὰν δὲ συμβῇ τὸ ἐναντίον ὧν εἴπομεν, οὐ πίπτει τὸ φυτὸν εἰς στέρησιν τῶν ἰδίων φύλλων. ὅταν δὲ πάλιν νικήσῃ τὸ φυτὸν ψυχρότης, θερμαίνει αὐτὸ ἡ ἐγκλειομένη τούτῳ θερμότης, καὶ ἡ φανέρωσις τῆς ψυχρότητος γίνεται ἐκτὸς ἐν τοῖς 828b *ἄκροις αὐτοῦ, καὶ ἀποτελοῦνται ἐντεῦθεν τὰ φύλλα γλαυκά, καὶ οὐδὲ πίπτουσιν, ὡς οὐδὲ ἐπὶ τῶν ἐλαιῶν καὶ τῶν μυρσινῶν καὶ τῶν λοιπῶν. ὁπόταν δὲ ἔχωσι τὰ δένδρα καὶ τὰ φυτὰ δύναμιν τοῦ ἕλκειν σφοδρῶς, γίνεται καρποφορία ὁμοῦ· ἥτις συμβαίνει, ὅτι χρῆται ἡ φύσις πέψει κατὰ διαδοχὴν συχνῇ, καὶ ἐν ἑκάστῃ πέψει καρπὸν προάγει πολύν. καὶ διὰ τοῦτο τινὰ φυτὰ καὶ πολλάκις ἐν τῷ χρόνῳ καρποφοροῦσι. τὸ δὲ φυτὸν ὅπερ ἐστὶν ὡς ἡ φύσις τοῦ ὕδατος, μόλις καρποφορεῖ διὰ τὴν ἐπικράτειαν τῆς ὑγρότητος αὐτοῦ καὶ τὸν πλατυσμὸν τῶν ἰδίων πόρων καὶ τὴν ἀπορροὴν τῶν ἰδίων ῥιζῶν. ὅταν δὲ ἰσχυροποιηθῇ τὸ θερμόν, ταχύνει τε ἡ τούτου πέψις, καὶ λεπτύνεται ἡ ὑγρότης καὶ οὐ συμπήγνυται· οὐδ᾽ οὕτως πάλιν γίνεσθαι καρποφορίαν συμβαίνει. καὶ τοῦτο εὑρίσκεται ἐν πάσαις ταῖς βοτάναις ταῖς λεπταῖς, ἀλλὰ δὴ καὶ ἔν τισι λαχάνοις. φαιότης δὲ γίνεται ἐν τόποις σφόδρα θερμοῖς, καὶ ἔστιν ἐν τούτοις ὀλίγος καρπὸς ἐκ τῆς ὑγρότητος, διότι εἰσὶ στενοὶ οἱ πόροι. ὅταν γοῦν θελήσῃ ἡ φύσις πέψιν ποιῆσαι, μὴ ἔχουσα ὑγρότητα ἀρκοῦσαν τῇ ὕλῃ, τότε γίνονται οἱ πόροι στενώτεροι. ἐπαναστρέφει γοῦν ἡ πέψις, καὶ συνεχῇ ταύτην ποιεῖ ἡ θερμότης, καὶ φαίνεται τότε τὸ μέσον λευκοῦ καὶ μέλανος ἐν χρώματι. καὶ ὅταν τοῦτο τοιουτοτρόπως γένηται, τότε τὸ ξύλον φθάνει γίνεσθαι μέλαν, καὶ πᾶν τὸ πλησιάζον τῷ φαιῷ· καὶ τοῦτο ἔστιν ἰδεῖν ἀπὸ τοῦ ἐβένου καὶ τῆς πτελέας. ὁ δὲ ἔβενος*

4 *νικήσῃ* Bussemaker e Parisino: *κινήσῃ* N^a Bekker || 17 et 28 *ὅταν* Bussemaker e Parisino: *ὅτε* N^a Bekker || 19 *συμβαίνει γίνεσθαι καρποφορίαν* N^a || 23 *στερροὶ* N^a ||

καταδύεται ἐν τῷ ὕδατι, ὅτι τὰ μέρη αὐτοῦ εἰσὶ συμπεπηγότα καὶ οἱ πόροι στενοί, καὶ ἀὴρ οὐκ εἰσέρχεται ἐν αὐτοῖς. ὃ δὲ ἐκ τῶν ξύλων τῶν λευκῶν βυθίζεται, ἔστι διὰ τὴν στενότητα τῶν πόρων καὶ τὴν περιττότητα τῆς ὑγρότητος τῆς βυούσης τοὺς πόρους, ὥστε μὴ ἐξέρχεσθαι ἀπ' αὐτῶν ἀέρα. τὸ δὲ ἄνθος ἐκ λεπτῆς μόνον ὕλης ἐστίν, ὅταν ἄρξηται ἡ πέψις· καὶ διὰ τοῦτο προηγεῖται τοῦ φυτοῦ, ὡς ἐδείξαμεν. ἐντεῦθεν γοῦν δεικνύομεν καὶ τὴν αἰτίαν δι' ἣν τὰ φυτὰ ἐκφέρουσι φύλλα πρότερον, εἶτα καρπούς. ὃ δὲ ἐν τῷ φυτῷ τῷ ἔχοντι στενοὺς πόρους γίνεται χρῶμα, ἔσται ἐν χρώματι σαπφειρίνῳ, καὶ διότι συμπιέζονται αὐτοῦ τὰ μέρη, εἰς λευκότητα κλίνει. ὅταν δὲ εἰς εὐκρασίαν φθάσῃ, ἐστὶ γλαυκόν. διότι δέ τινα φυτὰ ἄνθη οὐκ ἔχουσιν, ἔστιν ἡ αἰτία ὅτι ὡς ἐπὶ τὸ πλεῖστον γίνεται τοῦτο διὰ τὴν διαφορὰν τῶν ἐν αὐτοῖς μερῶν καὶ τὴν ἐν αὐτοῖς λεπτότητα καὶ τραχύτητα καὶ παχύτητα. οὐκ ἔχουσι δὲ ἄνθη φοίνικες, συκαῖ καὶ τὰ τούτοις ὅμοια. τὸ δὲ φυτὸν τὸ παχεῖς ἔχον
829a φλοιοὺς ἐκτείνεται κατὰ τὴν ἔκτασιν τῆς ὑγρότητος καὶ τὴν συνώθησιν τῆς θερμότητος. καὶ τοῦτό ἐστιν ἐν τῇ πεύκῃ καὶ τῷ φοίνικι. τὸ δὲ φυτὸν τὸ γάλα ἐκβάλλον ἔχει τοῦτο ἐν τῷ μέσῳ. ἔστι δὲ ἡ θερμότης ὑποκάτω ἰσχυροτέρα, καὶ μένει ἐκεῖ πιότης. ὁπόταν οὖν ἄρξηται ἡ θερμότης πέττειν, στρέφεται ἡ πιότης εἰς τὴν οἰκείαν ὑγρότητα, καὶ συμπήγνυσι ταύτην συμπήξει βραχείᾳ. καὶ θερμαινομένου τοῦ τόπου γίνεται ἡ ὑγρότης λιπαρά, ὁμοία γάλακτι, ἐγείρεταί τε ἀναθυμίασις ἀπὸ τῆς ὑγρότητος τῆς ἑλκούσης τὸ γάλα ἐκεῖνο εἰς τὰς ἀκρότητας, καὶ κατέχει ἡ ὑγρότης τὴν θερμότητα τὴν φαινομένην, καὶ οὕτω συμπήγνυται τὸ γάλα· φύσις γάρ ἐστι τῆς θερμότητος τὸ συμπηγνύειν. ὁποῖον δή τι δὲ γάλα πολλῆς ἐστὶ συμπήξεως, τότε γίνεται, ὅταν ἐν

3 λεπτῶν *N*a ‖ 8 οὖν *N*a ‖ 16 ἔχει *N*a ‖ 21 τε *N*a ‖ 24 τραχεία *N*a ‖ 28 'et *non* coagulabitur illud lac' Alfredus

τῷ δένδρῳ φανῇ ψῦχος· συμπηγνύμενον γὰρ μετὰ ταῦτα ἐξέρχεται ἀπὸ τοῦ οἰκείου τόπου. καὶ ἐντεῦθέν ἐστι τὸ κόμι. τὸ κόμι δὲ τὸ θερμὸν προέρχεται ἐν τῷ στάζεσθαι· ὁπόταν γοῦν τοῦ ἀέρος ἅψηται, συμπήγνυται καὶ καταρρεῖ ἐν τόπῳ εὐκράτῳ, καὶ ἔστιν ὅμοιον ὕδατι. ἕτερον δὲ χέεται καὶ συμπήγνυται ὅμοιον λίθοις ἢ κογχυλίοις. ὅτε δὲ κατὰ στράγγα ῥεῖ, μένον ἐν τῷ οἰκείῳ εἴδει γίνεται ὡς τὸ λεγόμενον σμηρίον. τὸ δὲ ἀλλοιούμενον ὡς λίθος ἐστὶ κατὰ τὸ φαινόμενον λίαν ψυχρόν. ποιεῖ δὲ τοῦτο ἡ θερμότης τοιοῦτον εἶναι· ὅταν δὲ ᾖ ψῦχος καὶ καταρρῇ, ἀπολιθοῦται. πάλιν τῶν δένδρων τινὰ ἀλλοιοῦνται ἐν τῷ χειμῶνι, καὶ ποτὲ μὲν γίνονται χλοερὰ ποτὲ δὲ γλαυκά, καὶ οὐ φθείρονται οὔτε τὰ φύλλα αὐτῶν οὔτε οἱ καρποί, ὅτι τὰ φυτὰ ἐν οἷς τοῦτο συμβαίνει ἔχουσιν ἐπάνω θερμότητα παχεῖαν καὶ ἐν ταῖς ῥίζαις ὑγρότητα λεπτήν· ὅθεν ἐν τῇ προόδῳ τοῦ ἔτους κατέχει ἡ ὑγρότης ἐκεῖνο τὸ χρῶμα διὰ τὴν ψυχρότητα τοῦ ἀέρος. καὶ ὅτε παραβάλλει ἡ θερμότης πρὸς τὴν ψυχρότητα, ὠθεῖ ἡ θερμότης τὴν ὑγρότητα ἔξωθεν, μετὰ τοῦ οὗπερ ἔβαψε χρώματος τοῦ ἐν τῇ ἐπιφανείᾳ τοῦ δένδρου ἀκολουθοῦντος. ὅτε δὲ στρέφεται πάλιν ἡ ψυχρότης καὶ ἡ ξηρότης εἰς ἐνέργειαν, καὶ ἡ ὑγρότης κατέχει τὴν θερμότητα, τότε τὸ χρῶμα φαίνεται τὸ γλαυκόν.

.0 Πικρὸς δὲ γίνεται καρπός, ὅτε ἡ θερμότης καὶ ἡ ὑγρότης οὐκ εἰσὶ πλήρεις ἐν τῇ πέψει. ἡ ψυχρότης γὰρ καὶ ἡ ξηρότης ἐμποδίζουσι τὴν τελείωσιν, καὶ οὕτω στρέφεται εἰς πικρίαν ὁ καρπός. τούτου σημεῖον ὅτι τὸ πικρὸν εἰς πῦρ ἐμβληθὲν γλυκὺ γίνεται. δένδρα δὲ ὅσα γεννῶνται ἐν ὕδατι ὀξώδει, ποιοῦσι καρπὸν γλυκύν, διότι τὸ ὀξῶδες ἕλκει μετὰ 82
θερμότητος τοῦ ἡλίου, ὅπερ ἐστὶ τῆς ἰδίας ποιότητος. καὶ τοῦτο ψυχρότης ἐστὶ καὶ ξηρότης· κἀντεῦθεν ἀπομένουσιν ὑγρότητές τινες ὀλίγαι ἔνδον γλυκεῖαι. θερμαίνεταί τε καὶ

1 ψύχος φανῇ Nª ‖ 19 ἔβλαψε Nª

ἡ κοιλία τοῦ δένδρου, ὅταν προσμείνῃ ἐς αὐτὴν ὁ ἥλιος, καὶ οὕτως γίνεται ὁ χυμὸς τοῦ καρποῦ στύφος ὀλίγον. καὶ ὅσον πλέον πεπεμμένος γένηται, διαλύεται κατὰ μικρὸν τὸ ὀξῶδες, ἔστ' ἂν καταναλωθῇ καὶ φανῇ ἡ γλυκύτης. ἔσται τοίνυν ὁ καρπὸς γλυκύς, τὰ δὲ φύλλα αὐτοῦ καὶ οἱ ἀκρέμονες ξηροί. ὅταν δὲ τελειωθῇ ἡ πεπειρότης, ἐπὶ πλέον γίνεται ὁ καρπὸς πικρός. τοῦτο δέ ἐστι διὰ τὴν περισσὴν θερμότητα μετὰ βραχείας ὑγρότητος. καταναλίσκεται γὰρ ἡ ὑγρότης, ποιεῖ τε ὁ καρπὸς τὴν θερμότητα ἀναβαίνειν, καὶ ἐστὶ τότε ὁ καρπὸς πικρός. γίνονται δὲ καὶ οἱ πυρῆνες πυραμοειδεῖς διὰ τὴν ἐφέλκυσιν τοῦ θερμοῦ καὶ τὴν περιττὴν ψυχρότητα καὶ ὑγρότητα τὴν ἐντὸς κειμένην, ἅ εἰσιν ἐκ γένους τοῦ ὀξώδους ὕδατος. μένει γὰρ τὸ ὑγρὸν ἐν μέσῳ καὶ καταπυκνοῦται καὶ ἰσχναίνει τὰ ἄκρα. τὰ δένδρα δὲ τὰ ὄντα ἐν γῇ εὐκράτῳ ἐπισπεύδουσι τὴν πεπειρότητα πρὸ τῶν χειμερινῶν ἡμερῶν, ὅτι ἡ θερμότης ὅταν ᾖ πλησίον τῆς εὐκρασίας, γένηται δὲ καὶ ἡ ὑγρότης φανερὰ καὶ ὁ ἀὴρ καθαρός, καὶ οὐ δεῖται ὁ καρπὸς πολλῆς θερμότητος τε καὶ πέψεως, σπεύδει τότε ἡ τοῦδε πεπειρότης, καὶ πρόεισι πρὸ ἡμερῶν χειμερινῶν. ἐν πᾶσι γοῦν τοῖς δένδροις, ὅταν πρῶτον φυτευθῶσιν, ἐπικρατεῖ τὸ πικρὸν ἢ τὸ στρυφνόν, ἐπεὶ ἡ ὑγρότης ὅταν ἐν τοῖς ἄκροις γένηται αὐτῶν, πέττει τοὺς τόπους τοὺς ὄντας ἐν τῷ μέσῳ τῶν δένδρων, ἐξ ὧν ἐστὶ καὶ ἡ ὕλη τῶν καρπῶν, προέρχεταί τε ξηρότης καὶ ἐπακολουθεῖ τῇ ὑγρότητι, καὶ οὕτω γίνεται ἡ πρώτη πέψις δριμεῖα ἢ πικρὰ ἢ στρυφνή. αἰτία δέ ἐστιν ὅτι μετὰ θερμότητος καὶ ὑγρότητός ἐστι πέψις. ὅταν δὲ ἐπικρατήσῃ ὑγρότης καὶ ξηρότης τοῦ θερμοῦ, ἔστιν ἐξ αὐτοῦ καρπὸς ἐν τῇ ἀρχῇ οὐκ εὔπεπτος, διότι ἡ γέννησις τοῦ καρποῦ ἐν τῇ ἀρχῇ ἐστὶ χωρὶς γλυκύτητος. τῶν μυροβαλάνων δὲ δένδρων ἐν τῇ

2 *στύφων* vel *στρυφνός* malebat Sylburg ‖ 4 *καταναλωθείη* *N*a Bekker ‖ 18 *θερμότητος* Bussemaker e Parisino: *ὑγρότητος* *N*a Bekker ‖ 20 *ὅταν* Bussemaker e Parisino: *ὅτε* *N*a Bekker

τῷ δένδρῳ φανῇ ψῦχος· συμπηγνύμενον γὰρ μετὰ ταῦτα ἐξέρχεται ἀπὸ τοῦ οἰκείου τόπου. καὶ ἐντεῦθέν ἐστι τὸ κόμι. τὸ κόμι δὲ τὸ θερμὸν προέρχεται ἐν τῷ στάζεσθαι· ὁπόταν γοῦν τοῦ ἀέρος ἅψηται, συμπήγνυται καὶ καταρρεῖ ἐν τόπῳ εὐκράτῳ, καὶ ἔστιν ὅμοιον ὕδατι. ἕτερον δὲ χέεται καὶ συμπήγνυται ὅμοιον λίθοις ἢ κογχυλίοις. ὅτε δὲ κατὰ στράγγα ῥεῖ, μένον ἐν τῷ οἰκείῳ εἴδει γίνεται ὡς τὸ λεγόμενον σμηρίον. τὸ δὲ ἀλλοιούμενον ὡς λίθος ἐστὶ κατὰ τὸ φαινόμενον λίαν ψυχρόν. ποιεῖ δὲ τοῦτο ἡ θερμότης τοιοῦτον εἶναι· ὅταν δὲ ᾖ ψῦχος καὶ καταρρῇ, ἀπολιθοῦται. πάλιν τῶν δένδρων τινὰ ἀλλοιοῦνται ἐν τῷ χειμῶνι, καὶ ποτὲ μὲν γίνονται χλοερὰ ποτὲ δὲ γλαυκά, καὶ οὐ φθείρονται οὔτε τὰ φύλλα αὐτῶν οὔτε οἱ καρποί, ὅτι τὰ φυτὰ ἐν οἷς τοῦτο συμβαίνει ἔχουσιν ἐπάνω θερμότητα παχεῖαν καὶ ἐν ταῖς ῥίζαις ὑγρότητα λεπτήν· ὅθεν ἐν τῇ προόδῳ τοῦ ἔτους κατέχει ἡ ὑγρότης ἐκεῖνο τὸ χρῶμα διὰ τὴν ψυχρότητα τοῦ ἀέρος. καὶ ὅτε παραβάλλει ἡ θερμότης πρὸς τὴν ψυχρότητα, ὠθεῖ ἡ θερμότης τὴν ὑγρότητα ἔξωθεν, μετὰ τοῦ οὗπερ ἔβαψε χρώματος τοῦ ἐν τῇ ἐπιφανείᾳ τοῦ δένδρου ἀκολουθοῦντος. ὅτε δὲ στρέφεται πάλιν ἡ ψυχρότης καὶ ἡ ξηρότης εἰς ἐνέργειαν, καὶ ἡ ὑγρότης κατέχει τὴν θερμότητα, τότε τὸ χρῶμα φαίνεται τὸ γλαυκόν.

10 *Πικρὸς* δὲ γίνεται καρπός, ὅτε ἡ θερμότης καὶ ἡ ὑγρότης οὐκ εἰσὶ πλήρεις ἐν τῇ πέψει. ἡ ψυχρότης γὰρ καὶ ἡ ξηρότης ἐμποδίζουσι τὴν τελείωσιν, καὶ οὕτω στρέφεται εἰς πικρίαν ὁ καρπός. τούτου σημεῖον ὅτι τὸ πικρὸν εἰς πῦρ ἐμβληθὲν γλυκὺ γίνεται. δένδρα δὲ ὅσα γεννῶνται ἐν ὕδατι ὀξώδει, ποιοῦσι καρπὸν γλυκύν, διότι τὸ ὀξῶδες ἕλκει μετὰ θερμότητος τοῦ ἡλίου, ὅπερ ἐστὶ τῆς ἰδίας ποιότητος. καὶ τοῦτο ψυχρότης ἐστὶ καὶ ξηρότης· κἀντεῦθεν ἀπομένουσιν ὑγρότητές τινες ὀλίγαι ἔνδον γλυκεῖαι. θερμαίνεταί τε καὶ

1 ψύχος φανῇ Nª ‖ 19 ἔβλαψε Nª

ΠΕΡΙ

ΘΑΥΜΑΣΙΩΝ ΑΚΟΥΣΜΑΤΩΝ.

Ἐν τῇ Παιονίᾳ φασὶν ἐν τῷ ὄρει τῷ Ἡσαίνῳ καλουμένῳ, ὃ τὴν Παιονικὴν καὶ τὴν Μαιδικὴν ὁρίζει, εἶναί τι θηρίον τὸ καλούμενον βόλινθον, ὑπὸ δὲ τῶν Παιόνων μόναιπον. τοῦτον λέγουσι τὴν μὲν ὅλην φύσιν παραπλήσιον εἶναι βοΐ, διαφέρειν δὲ τῷ μεγέθει καὶ τῇ εὐρωστίᾳ, προσέτι δὲ καὶ τῇ χαίτῃ· ἔχει γὰρ ἀπὸ τοῦ αὐχένος, ὥσπερ ὁ ἵππος, κατατείνουσαν βαθεῖαν σφόδρα, καὶ ἀπὸ τῆς κορυφῆς ἕως τῶν ὀφθαλμῶν. τὰ δὲ κέρατα οὐχ ὥσπερ οἱ βόες, ἀλλὰ κατεστραμμένα, καὶ τὸ ὀξὺ κάτω παρὰ τὰ ὦτα· χωρεῖν δὲ αὐτὰ ἡμιχόου πλεῖον ἑκάτερον αὐτῶν, καὶ μέλανα σφόδρα εἶναι, διαστίλβειν δὲ ὡσανεὶ λελεπισμένα. ὅταν δὲ ἐκδαρῇ τὸ δέρμα, κατέχειν τόπον ὀκτακλίνου. ἡνίκα δὲ πληγῇ, φεύγει, κἂν ἐξαδυνατῇ, μένει. ἔστι δὲ ἡδύκρεων. ἀμύνεται δὲ λακτίζον καὶ προσαφοδεῦον ὡς ἐπὶ τέτταρας ὀργυιάς· ῥᾳδίως δὲ χρῆται τούτῳ καὶ πολλάκις τῷ εἴδει, καὶ ἐπικαίει δ᾽ ὥστ᾽ ἀποψήχεσθαι τὰς τρίχας τῶν κυνῶν. τεταραγμένου μὲν οὖν τοῦτο ποιεῖν φασὶ τὴν ἄφοδον, ἀταράχου δὲ μὴ ἐπικαίειν. ὅταν

Codex S^a (Laurentianus 60, 19). Cf. prolegg.

Tit. *θαυμασίων*] *παραδόξων* S^a

1 Arist. hist. an. 630^a 18 sqq. Antig. Caryst. c. 53. Ael. hist. an. 7, 3 ‖ 2 *Μαιδικὴν* Sylburg: *μηδικὴν* codd. ‖ 3 *μόνεπον τοῦτο* S^a. ‖ 4 *τῷ βοΐ* S^a ‖ 7 *κορυφαίας* S^a ‖ 9 *περὶ* S^a ‖ 10 *μέλαν* S^a ‖ 11 *ὡσανεὶ*] *ὡς εἶναι* S^a ‖ *λελιπασμένα* Conr. Gesner ‖ 13 *ἐξαδυνατῇ* Aldina: *ἐξαδυνατεῖ* nonnulli codd., *ἐξαδυνατοῦν* S^a ‖ *ἔστι δὲ ἡδύκρεων* haec verba videntur falso huc illata cf. Arist. h. a. 630^b 7 sq., Heyne ap. Beckmann. p. 412 ‖ 15 *τῷ εἴδει* om. S^a, erat qui mallet *τῷ ἔθει*. An *εἰ δεῖ*? ‖ 16 *τεταραγμένον* S^a ‖ *μὲν* om. S^a ‖ *τοῦτον* S^a ‖ 17 *τὴν* Heyne: *τὸν* codd.

k. 30a Ἐν τῇ Παιονίᾳ φασὶν ἐν τῷ ὄρει τῷ Ἡσαίνῳ καλουμένῳ, ὃ τὴν Παιονικὴν καὶ τὴν Μαιδικὴν ὁρίζει, εἶναί τι θηρίον τὸ καλούμενον βόλινθον, ὑπὸ δὲ τῶν Παιόνων μόναιπον. τοῦτον λέγουσι τὴν μὲν ὅλην φύσιν παραπλήσιον εἶναι βοΐ, διαφέρειν δὲ τῷ μεγέθει καὶ τῇ εὐρωστίᾳ, προσέτι δὲ καὶ τῇ χαίτῃ· ἔχει γὰρ ἀπὸ τοῦ αὐχένος, ὥσπερ ὁ ἵππος, κατατείνουσαν βαθεῖαν σφόδρα, καὶ ἀπὸ τῆς κορυφῆς ἕως τῶν ὀφθαλμῶν. τὰ δὲ κέρατα οὐχ ὥσπερ οἱ βόες, ἀλλὰ κατεστραμμένα, καὶ τὸ ὀξὺ κάτω παρὰ τὰ ὦτα· χωρεῖν δὲ αὐτὰ ἡμιχόου πλεῖον ἑκάτερον αὐτῶν, καὶ μέλανα σφόδρα εἶναι, διαστίλβειν δὲ ὡσανεὶ λελεπισμένα. ὅταν δὲ ἐκδαρῇ τὸ δέρμα, κατέχειν τόπον ὀκτακλίνου. ἡνίκα δὲ πληγῇ, φεύγει, κἂν ἐξαδυνατῇ, μένει. ἔστι δὲ ἡδύκρεων. ἀμύνεται δὲ λακτίζον καὶ προσαφοδεῦον ὡς ἐπὶ τέτταρας ὀργυιάς· ῥᾳδίως δὲ χρῆται τούτῳ καὶ πολλάκις τῷ εἴδει, καὶ ἐπικαίει δ' ὥστ' ἀποψήχεσθαι τὰς τρίχας τῶν κυνῶν. τεταραγμένου μὲν οὖν τοῦτο ποιεῖν φασι τὴν ἄφοδον, ἀταράχου δὲ μὴ ἐπικαίειν. ὅταν

Codex S^a (Laurentianus 60, 19). Cf. prolegg.

Tit. *θαυμασίων*] *παραδόξων* S^a

1 Arist. hist. an. 630a 18 sqq. Antig. Caryst. c. 53. Ael. hist. an. 7, 3 ‖ 2 *Μαιδικὴν* Sylburg: *μηδικὴν* codd. ‖ 3 *μόνεπον τοῦτο* S^a. ‖ 4 *τῷ βοΐ* S^a ‖ 7 *κορυφαίας* S^a ‖ 9 *περὶ* S^a ‖ 10 *μέλαν* S^a ‖ 11 *ὡσανεὶ*] *ὡς εἶναι* S^a ‖ *λελιπασμένα* Conr. Gesner ‖ 13 *ἐξαδυνατῇ* Aldina: *ἐξαδυνατεῖ* nonnulli codd., *ἐξαδυνατοῦν* S^a ‖ *ἔστι δὲ ἡδύκρεων* haec verba videntur falso huc illata cf. Arist. h. a. 630b 7 sq., Heyne ap. Beckmann. p. 412 ‖ 15 *τῷ εἴδει* om. S^a, erat qui mallet *τῷ ἔθει*. An *εἰ δεῖ*? ‖ 16 *τεταραγμένον* S^a ‖ *μὲν* om. S^a ‖ *τοῦτον* S^a ‖ 17 *τὴν* Heyne: *τὸν* codd.

δὲ τίκτωσι, πλείους γενόμενοι καὶ συναχθέντες ἅμα πάντες οἱ μέγιστοι τίκτουσι καὶ κύκλῳ προσαφοδεύουσι· πολὺ γάρ τι τούτου τοῦ περιττώματος τὸ θηρίον προΐεται.

2 Τοὺς ἐν Ἀραβίᾳ φασὶ καμήλους μὴ ἀναβαίνειν ἐπὶ τὰς 830ᵇ μητέρας, ἀλλὰ κἂν βιάσηταί τις, οὐ θέλουσι. καὶ γάρ ποτε λέγεται, ἐπεὶ οὐκ ἦν ὀχεῖον, τὸν ἐπιμελητὴν καλύψαντα ἐφεῖναι τὸν πῶλον. ὁ δὲ τὸ ὀχεύειν τότε μέν, ὡς ἔοικε, συνετέλεσε, μικρῷ δ' ὕστερον δάκνων τὸν καμηλίτην ἀπέκτεινεν.

3 Τοὺς κόκκυγάς φασι τοὺς ἐν Ἑλίκῃ, ὅταν μέλλωσι τίκτειν, μὴ ποιεῖν νεοττιάν, ἀλλ' ἐν ταῖς τῶν φαττῶν ἢ ταῖς τῶν τρυγόνων ἐντίκτειν, καὶ μήτ' ἐπῳάζειν μήτ' ἐκκολάπτειν μήτε τρέφειν αὐτούς· ἀλλ' ὅταν γεννηθῇ ὁ νεοττὸς καὶ ἐκτραφῇ, μεθ' ὧν ἂν οὗτος συνῇ, τούτους ἐκ τῆς νεοττιᾶς ἐκβάλλειν. γίνεται δ', ὡς ἔοικε, καὶ οὕτω μέγας καὶ καλός, ὥστε ῥᾳδίως κατακρατεῖν τῶν λοιπῶν. τούτῳ δὲ χαίρειν φασὶ καὶ τὰς φάττας οὕτως ὥστε καὶ αὐτὰς συνεκβάλλειν ἐκείνῳ τοὺς ἰδίους νεοττούς.

4 Αἱ ἐν Κρήτῃ αἶγες ὅταν τοξευθῶσι, ζητοῦσιν, ὡς ἔοικε, τὸ δίκταμον τὸ ἐκεῖ φυόμενον. ὅταν γὰρ φάγωσιν, εὐθὺς ἐκβάλλουσι τὰ τοξεύματα.

5 Φασί τινας ἐν Ἀχαΐᾳ τῶν ἐλάφων, ὅταν ἀποβάλωσι τὰ κέρατα, εἰς τοιούτους τόπους ἔρχεσθαι ὥστε μὴ ῥᾳδίως εὑρε-

1 τίκτουσι S^a ‖ 4 Arist. l. l. 630^b 31 sqq. Ael. 3, 47 ‖ 7 ὁ δὲ τὸ ὀχεύειν (vel τὴν ὀχείαν) τότε scripsi: ὁ δὲ τὸ ὀχεῖον τότε S^a, ὡς δ' ὀχεύοντος ἐπέβη, τότε plerique codd. Bekker ‖ 8 μικρὸν S^a ‖ 10 Arist. l. l. 563^b 29 sqq. 618^a 8 sqq. Antig. c. 44. 100 ‖ τοὺς post φασι om. S^a ‖ ἐν] ἐν τῇ S^a ‖ τοὺς ἐν Ἑλίκῃ glossema putabat Heyne ‖ μέλλουσι S^a ‖ 15 καὶ οὕτω scripsi: καὶ οὗτος S^a, om. Bekker cum plerisque codd. ‖ 17 φάσσας S^a ‖ 19 Arist. l. l. 612^a 3 sqq. Antig. c. 30 ‖ 22 Arist. l. l. 611^a 25 sqq. 611^b 17 sqq. Antig. c. 29. Ael. 6, 5 ‖ ἐν Ἀχαΐᾳ] ἀχαΐνας Salmasius (cf. Arist. h. a. 611^b 18), delebat Heyne ‖ ἀποβάλλωσι S^a ‖ 23 τοιούτους τοὺς τόπους S^a ‖ εἰσέρχεσθαι S^a ‖ μὴ] μὲν S^a

831a θῆναι. τοῦτο δὲ ποιεῖν διὰ τὸ μὴ ἔχειν ᾧ ἀμυνοῦνται, καὶ
διὰ τὸ πονεῖν τοὺς τόπους ὅθεν τὰ κέρατα ἀπέβαλον. πολ-
λαῖς δὲ καὶ κισσὸν ἐπιπεφυκότα ἐν τῷ τῶν κεράτων τόπῳ
ἑωρᾶσθαι.

Ἐν Ἀρμενίᾳ φάρμακόν τί φασι φύεσθαι, ὃ καλεῖται 6
παρδάλειον. τούτῳ οὖν, ὅταν ὀφθῇ πάρδαλις, χρίσαντες τὸ
ἱερεῖον ἀφιᾶσιν. ἡ δὲ ὅταν ἅψηται αὐτοῦ, ζητεῖ, ὡς ἔοικε,
τὴν τοῦ ἀνθρώπου κόπρον. διὸ καὶ οἱ κυνηγοὶ εἰς ἀγγεῖον
αὐτὴν ἐμβαλόντες ἔκ τινος δένδρου κρεμῶσιν, ἵνα προσαλλο-
μένη καὶ ὑπέρκοπος γενομένη ὑπ' αὐτοῦ παραλυθῇ καὶ ὑπο-
χείριος γένηται.

Ἐν Αἰγύπτῳ δὲ τοὺς τροχίλους φασὶν εἰσπετομένους 7
εἰς τὰ στόματα τῶν κροκοδείλων καθαίρειν αὐτῶν τοὺς ὀδόν-
τας, τὰ σαρκία τὰ ἐνεχόμενα τοῖς ῥύγχεσιν ἐξέλκοντας· τοὺς
δ' ἥδεσθαι καὶ μηδὲν βλάπτειν αὐτούς.

Τοὺς ἐν Βυζαντίῳ φασὶν ἐχίνους αἰσθάνεσθαι ὅτε βόρεια 8
καὶ νότια πνεῖ πνεύματα, καὶ μεταβάλλειν εὐθὺς τὰς ὀπάς,
καὶ ὅταν μὲν ᾖ νότια, ἐκ τοῦ ἐδάφους τὰς ὀπὰς ποιεῖσθαι,
ὅταν δὲ βόρεια, ἐκ τῶν τοιχῶν.

Αἱ ἐν Κεφαλληνίᾳ αἶγες οὐ πίνουσιν, ὡς ἔοικεν, ὥσπερ 9
καὶ τἆλλα τετράποδα, καθ' ἡμέραν δὲ πρὸς τὸ πέλαγος ἀντία
τὰ πρόσωπα ποιήσασαι χάσκουσιν εἰσδεχόμεναι τὰ πνεύματα.

Φασὶν ἐν Συρίᾳ τῶν ἀγρίων ὄνων ἕνα ἀφηγεῖσθαι τῆς 10
ἀγέλης, ἐπειδὰν δέ τις νεώτερος ὢν τῶν πώλων ἐπί τινα
θήλειαν ἀναβῇ, τὸν ἀφηγούμενον θυμοῦσθαι, καὶ διώκειν

2 πολλοῖς S^a ‖ 4 ἑωρᾶσθαι S^a: ὁρᾶσθαι Bekker cum ceteris codd. ‖ 5 Arist. l. l. 612a 7 sqq. Ael. 4, 49 ‖ 6 παρδάλιον S^a ‖ τούτῳ Natalis de Comitibus: τοῦτο codd. ‖ 7 ἱερεῖον] ἔριον Sylburg ‖ 8 οἱ om. S^a ‖ 9 συμβαλλομένη S^a ‖ 10 γινομένη S^a ‖ 12 Arist. l. l. 612a 20 sqq. Antig. c. 33. Ael. 3, 11. 8, 25. 12, 15 ‖ 13 καθέλκειν αὐτῶν τῶν ὀδόντων S^a ‖ 16 Arist. l. l. 612b 4 sqq. ‖ 18 νότος S^a ‖ 20 Antig. c. 128. Ael. 3, 32. 5, 27 ‖ 21 τὰ πολλὰ ἄλλα S^a ‖ 23 Plin. h. n. 8, 30

ἕως τούτου ἕως ἂν καταλάβῃ τὸν πῶλον, καὶ ὑποκύψας ἐπὶ τὰ ὀπίσθια σκέλη τῷ στόματι ἀποσπάσῃ τὰ αἰδοῖα.

11 Τὰς χελώνας λέγουσιν, ὅταν ἔχεως φάγωσιν, ἐπεσθίειν τὴν ὀρίγανον, ἐὰν δὲ μὴ θᾶττον εὕρῃ, ἀποθνήσκειν. πολλοὺς δ' ἀποπειράζοντας τῶν ἀγραυλούντων, εἰ τοῦτ' ἀληθές ἐστιν, ὅταν ἴδωσιν αὐτὴν τοῦτο πράττουσαν, ἐκτίλλειν τὴν ὀρίγανον· τοῦτο δὲ ὅταν ποιήσωσι, μετὰ μικρὸν αὐτὴν ὁρᾶσθαι ἀποθνήσκουσαν.

12 Τὸ τῆς ἰκτίδος λέγεται αἰδοῖον εἶναι οὐχ ὅμοιον τῇ 831 φύσει τῶν λοιπῶν ζῴων, ἀλλὰ στερεὸν διὰ παντὸς οἷον ὀστοῦν, ὅπως ἄν ποτε διακειμένη τύχῃ. φασὶ δὲ στραγγουρίας αὐτὸ φάρμακον εἶναι ἐν τοῖς ἀρίστοις, καὶ δίδοσθαι ἐπιξυόμενον.

13 Τὸν δρυοκολάπτην φασὶ τὸ ὄρνεον ἐπὶ τῶν δένδρων βαδίζειν ὥσπερ τοὺς ἀσκαλαβώτας, καὶ ὕπτιον καὶ ἐπὶ τὴν γαστέρα. νέμεσθαι δὲ λέγεται καὶ τοὺς ἐκ τῶν δένδρων σκώληκας, καὶ οὕτω σφόδρα κατὰ βάθους ὀρύττειν τὰ δένδρα ζητοῦντα τοὺς σκώληκας ὥστε καὶ καταβάλλειν αὐτά.

14 Φασὶ τοὺς πελεκᾶνας τὰς ἐν τοῖς ποταμοῖς γινομένας κόγχας ὀρύττοντας καταπίνειν, ἔπειτα ὅταν πλῆθος εἰσφρήσωσιν αὐτῶν, ἐξεμεῖν, εἶθ' οὕτως τὰ μὲν κρέα κατεσθίειν τῶν κογχῶν, τῶν δ' ὀστράκων μὴ ἅπτεσθαι.

15 Ἐν Κυλλήνῃ φασὶ τῆς Ἀρκαδίας τοὺς κοσσύφους λευκοὺς γίνεσθαι, ἄλλοθι δ' οὐδαμῇ, καὶ φωνὰς ποικίλας προΐεσθαι, ἐκπορεύεσθαί τε πρὸς τὴν σελήνην. τὴν δ' ἡμέραν εἴ τις ἐπιχειροίη, σφόδρα δυσθηράτους εἶναι.

1 τέως S^a ‖ 2 ἀποσπάσῃ S^a: ἀποσπᾶσθαι ceteri ‖ 3 Arist. l. l. 612ᵃ 24 sqq. Antig. c. 34. Ael. 3, 5. 6, 12 ‖ 7 δὲ om. S^a ‖ 9 Arist. l. l. 612ᵇ 17 sqq. 500ᵇ 24 sq. Trophilus ap. Stob. 100, 22. Antig. c. 108 ‖ 14 Arist. l. l. 614ᵇ 2 sqq. ‖ 17 ὀρύσσειν τὰ δένδρα ζητοῦντας S^a ‖ 19 Arist. l. l. 614ᵇ 26 sqq. Antig. c. 41. Ael. 3, 20 ‖ φασὶ] καὶ S^a ‖ 20 εἰσφρήσωσιν Aldina: εἰσφορήσωσιν S^a, εἰσφερήσωσιν alii codd. ‖ 23 Arist. l. l. 617ᵃ 11 sqq. Steph. Byz. s. v. Κυλλήνη. Ael. 5, 27

Λέγεται δ' ὑπό τινων μέλι τὸ καλούμενον ἄνθινον περὶ 16
*Μῆλον καὶ Κνίδον γίνεσθαι εὐῶδες μὲν τῇ ὀσμῇ, ὀλιγο-
χρόνιον δέ, ἐν τούτῳ δὲ καὶ τὴν ἐριθάκην γίνεσθαι. περὶ δὲ* 17
*Καππαδοκίαν ἔν τισι τόποις ἄνευ κηρίου φασὶν ἐργάζεσθαι
τὸ μέλι, γίνεσθαι δὲ τὸ πάχος ὅμοιον ἐλαίῳ. ἐν Τραπε-* 18
*ζοῦντι τῇ ἐν τῷ Πόντῳ γίνεται τὸ ἀπὸ τῆς πύξου μέλι
βαρύοσμον· καί φασι τοῦτο τοὺς μὲν ὑγιαίνοντας ἐξιστάναι,
τοὺς δ' ἐπιλήπτους καὶ τελέως ἀπαλλάττειν. φασὶ δὲ καὶ* 19
*ἐν Λυδίᾳ ἀπὸ τῶν δένδρων τὸ μέλι συλλέγεσθαι πολύ, καὶ
ποιεῖν ἐξ αὐτοῦ τοὺς ἐνοικοῦντας ἄνευ κηροῦ τροχίσκους,
καὶ ἀποτέμνοντας χρῆσθαι διὰ τρίψεως σφοδροτέρας. γίνεται
μὲν οὖν καὶ ἐν Θρᾴκῃ, οὐχ οὕτω δὲ στερεόν, ἀλλ' ὡσανεὶ
ἀμμῶδες. ἅπαν δὲ μέλι πηγνύμενον τὸν ἴσον ἔχειν ὄγκον
φασίν, οὐχ ὥσπερ τὸ ὕδωρ καὶ τἆλλα ὑγρά. ἡ Χαλκιδικὴ* 20
*πόα καὶ τὰ ἀμύγδαλα χρησιμώτατα πρὸς τὸ μέλι ποιεῖν·
πλεῖστον γὰρ γόνον φασὶν ἐξ αὐτῶν γίνεσθαι. τὰς μελίττας* 21
*λέγουσιν ὑπὸ μύρου καροῦσθαι καὶ οὐκ ἀνέχεσθαι τὴν ὀσμήν·
ἔνιοι δὲ λέγουσι μάλιστα τοὺς μεμυρισμένους τύπτειν. ἐν* 22
*Ἰλλυριοῖς φασὶ τοὺς Ταυλαντίους καλουμένους ἐκ τοῦ μέ-
λιτος ποιεῖν οἶνον. ὅταν δὲ τὰ κηρία ἐκθλίψωσιν, ὕδωρ
ἐπιχέοντες ἕψουσιν ἐν λέβητι μέχρις οὗ ἂν ἐλλίπῃ τὸ ἥμισυ,
ἔπειτα εἰς κεράμια ἐκχέαντες καὶ ἡμίσεα ποιήσαντες τιθέασιν
εἰς σανίδας· ἐν ταύταις δέ φασι ζεῖν πολὺν χρόνον, καὶ*

1 *μέλι* interpres latinus: *μὲν* codd. ‖ 2 *Κνίδον*] *κνδώνιον* S^a ‖ 3 post *γίνεσθαι* S^a c. 20, deinde c. 17 cett. ‖ Arist. l. l. 554b 15 sqq. Ael. 5, 42 ‖ 5 *τὸ μέλι γίνεσθαι δὲ* om. S^a ‖ Stob. floril. 100, 13. Xen. Anab. 4, 8. Ael. 5, 42. Steph. Byz. s. v. *Τραπεζοῦς* ‖ 6 *τῇ* om. S^a ‖ *Πόντῳ*] *σπόγγῳ* S^a ‖ 9 *Λυδίᾳ*] *Λιβύῃ* Bochart, *Μηδίᾳ* Aelian. ‖ 11 *χρᾶσθαι δὲ καὶ ἀπίοις σφοδροτέροις* S^a ‖ 12 *μὲν*] *δὴ* S^a ‖ *δὲ* om. S^a ‖ 16 Arist. l. l. 623b 20 sq. 626a 26 sqq. Theophr. de caus. plant. 6, 4. Ael. 1, 58. 5, 11 ‖ 19 Steph. Byz. s. v. *Ταυλάντιοι* ‖ *ταλαντίους* S^a ‖ 21 *μέχρις οὗ* S^a: *ἕως* Bekker cum plerisque codd. ‖ *ἐλλίπῃ* S^a: *ἐκλίπῃ* Bekker cum cet. codd. ‖ ἡμίσεα S^a: ἥδιστα alii, neutrum videtur sanum ‖ 22 *ποιήσαντες*] an πωμάσαντες? cf. 845a 6

γίνεσθαι οἰνῶδες καὶ ἄλλως ἡδὺ καὶ εὔτονον. ἤδη δέ τισι καὶ τῶν ἐν Ἑλλάδι συμβεβηκέναι λέγουσι τοῦτο, ὥστε μηδὲν διαφέρειν οἴνου παλαιοῦ· καὶ ζητοῦντας ὕστερον τὴν κρᾶσιν μὴ δύνασθαι εὑρεῖν.

23 *Περὶ Θετταλίαν μνημονεύουσιν ὄφεις ζῳογονηθῆναι το-*
6 *σούτους ὥστε, εἰ μὴ ὑπὸ τῶν πελαργῶν ἀνῃροῦντο, ἐκχωρῆσαι ἂν αὐτούς. διὸ δὴ καὶ τιμῶσι τοὺς πελαργούς, καὶ κτείνειν οὐ νόμος· καὶ ἐάν τις κτείνῃ, ἔνοχος τοῖς αὐτοῖς*
24 *γίνεται οἷσπερ καὶ ὁ ἀνδροφόνος. ὡσαύτως καὶ ἐν Λακε-*
10 *δαίμονι κατά τινας χρόνους μνημονεύεται γενέσθαι τοσοῦτον πλῆθος ὄφεων ὥστε διὰ σπανοσιτίαν καὶ τροφῇ τοὺς Λάκωνας χρῆσθαι αὐτοῖς· ὅθεν καὶ τὴν Πυθίαν φασὶ προσαγορεῦσαι αὐτοὺς ὀφιοδείρους.*

25 *Ἐν Γυάρῳ τῇ νήσῳ λέγεται τοὺς μῦς τὸν σίδηρον ἐσθίειν.*
26 *φασὶ δὲ καὶ ⟨κατὰ⟩ τοὺς Χάλυβας ἔν τινι ὑπερκειμένῳ*
16 *αὐτοῖς νησιδίῳ τὸ χρυσίον συμφορεῖσθαι παρὰ πλειόνων. διὸ δὴ καὶ τοὺς ἐν τοῖς μετάλλοις ἀνασχίζουσιν, ὡς ἔοικεν.*

27 *Λέγεται δὲ ἐκ Σούσων εἰς Μηδίαν ἰοῦσιν ἐν τῷ δευτέρῳ σταθμῷ σκορπίων ἄπλετόν τι πλῆθος γίνεσθαι. διὸ καὶ ὁ*
20 *βασιλεὺς ὁ Περσῶν, ὅτε διοδεύοι, τρεῖς ἡμέρας ἔμενε, τοῖς αὐτοῦ πᾶσι συντάσσων ἐκθηρεύειν· τῷ δὲ πλείστους θηρεύσαντι ἆθλον ἐδίδου.*

28 *Ἐν Κυρήνῃ δέ φασιν οὐχ ἓν εἶναι μυῶν γένος, ἀλλὰ πλείω καὶ διάφορα καὶ ταῖς μορφαῖς καὶ ταῖς χρόαις· ἐνίους*

1 *εὔστομον* malebat Sylburg ‖ 5 Plut. de Is. et Osir. c. 74 ‖ 9 *ὥσπερ* pr. S^a ‖ 11 *τροφὴν* S^a ‖ 13 *ὀφιοβόρους* Meziriac ex Plut. de Pyth. or. c. 24 (406 E), *ὀφιοθήρας* vel *ὀφιοδαίτας* Lobeck ‖ 14 Theophr. fragm. 174, 8 p. 221 Wim. Plin. h. n. 8, 57. Antig. c. 18. Ael. 5, 14 ‖ *Γυάρῳ* Marsilius Cagnatus: *Κύπρῳ* codd. ‖ 15 Theophr. l. l. ‖ *κατὰ* add. Val. Rose Arist. pseudep. p. 336, *περὶ* Heyne ‖ 16 *περὶ* S^a ‖ 17 *δὴ* om. S^a ‖ 18 Ael. 15, 26 ‖ *δὲ καὶ* S^a ‖ 19 *διὸ δὴ καὶ βασιλεὺς πέρσης* S^a ‖ 20 *τοῖς αὐτοῦ πᾶσι* 'omnibus qui ibi erant' S^a: *πᾶσι τοῖς αὐτοῦ* Bekker cum plerisque codd. ‖ 23 Ael. l. l.

*γὰρ πλατυπροσώπους, ὥσπερ αἱ γαλαῖ, γίνεσθαι, τινὰς δὲ
ἐχινώδεις, οὓς καλοῦσιν ἐχῖνας.*

Περὶ Κιλικίαν δέ φασιν εἶναι ὕδατος συστρεμμάτιον, 29
*εἰς ὃ τὰ πεπνιγμένα τῶν ὀρνέων καὶ τῶν λοιπῶν ζῴων ὅταν
ἀποβαφῇ, πάλιν ἀναβιοῖ.* 5

Ἐν δὲ Σκύθαις τοῖς καλουμένοις Γελωνοῖς φασὶ θηρίον 30
*τι γίνεσθαι, σπάνιον μὲν ὑπερβολῇ, ὃ ὀνομάζεται τάρανδος·
λέγεται δὲ τοῦτο μεταβάλλειν τὰς χρόας τῆς τριχὸς καθ' ὃν
ἂν καὶ τόπον ᾖ. διὰ δὲ τοῦτο εἶναι δυσθήρατον [καὶ διὰ
τὴν μεταβολήν]· καὶ γὰρ δένδρεσι καὶ τόποις, καὶ ὅλως* 10
*ἐν οἷς ἂν ᾖ, τοιοῦτον τῇ χροιᾳ γίνεσθαι. θαυμασιώτατον
δὲ τὸ τὴν τρίχα μεταβάλλειν· τὰ μὲν γὰρ λοιπὰ τὸν χρῶτα,
οἷον ὅ τε χαμαιλέων καὶ ὁ πολύπους. τὸ δὲ μέγεθος ὡσανεὶ
βοῦς. τοῦ δὲ προσώπου τὸν τύπον ὅμοιον ἔχει ἐλάφῳ.*

Λέγεται δέ τινα ἐν Ἀβύδῳ παρακόψαντα τῇ διανοίᾳ 31
καὶ εἰς τὸ θέατρον ἐρχόμενον ἐπὶ πολλὰς ἡμέρας θεωρεῖν, 16
*ὡς ὑποκρινομένων τινῶν, καὶ ἐπισημαίνεσθαι· καὶ ὡς κατέστη
τῆς παρακοπῆς, ἔφησεν ἐκεῖνον αὐτῷ τὸν χρόνον ἥδιστα
βεβιῶσθαι. καὶ ἐν Τάραντι δέ φασιν οἰνοπώλην τινὰ τὴν* 32
μὲν νύκτα μαίνεσθαι, τὴν δ' ἡμέραν οἰνοπωλεῖν. καὶ γὰρ 20
*τὸ κλειδίον τοῦ οἰκήματος πρὸς τῷ ζωνίῳ διεφύλαττε, πολλῶν
δ' ἐπιχειρούντων παρελέσθαι καὶ λαβεῖν οὐδέποτε ἀπώλεσεν.*

Ἐν Τήνῳ τῇ νήσῳ φασὶν εἶναι φιάλιον σύγκραμα ἔχον, 33
*ἐξ οὗ πῦρ ἀνάπτουσι πάνυ ῥᾳδίως. καὶ ἐν Βιθυνίᾳ δὲ
τῆς Θρᾴκης ἐν τοῖς μετάλλοις γίνεται ὁ καλούμενος σπίνος,* 25

1 *γίνεσθαι τινὰς δὲ*] *τοὺς δὲ* S^a ‖ 3 Sotion c. 6 ‖ *συστρεμμάτιον*] *σύστημά τι* Schrader in Fleckeis. ann. 97, 222 ‖ 6 Theophr. fragm. 172, 1 p. 218 Wim. Antig. c. 25. Steph. Byz. s. v. *Γελωνοί*. Ael. 2, 16 ‖ 7 *τάρανδρος* S^a ‖ 9 *καὶ* — 10 *μεταβολὴν* seclusit Heyne ‖ 11 *γίνεται* S^a ‖ 14 *ἐλάφου* S^a ‖ 15 Hor. epp. 2, 2, 128 ‖ 20 *καὶ γὰρ τὸ*] *τὸ γὰρ* S^a ‖ 21 *διεφυλάττετο* S^a ‖ 23 Steph. Byz. s. v. *Τῆνος* ‖ *Τήνῳ*] *τινι* S^a ‖ *ἔχον* om. S^a ‖ 24 *οὗ φασὶ* S^a ‖ *Σιθωνίᾳ* Sylburg ‖ 25 *καλούμενος*] *λεγόμενος* S^a ‖ *σπίνις* S^a

*γίνεσθαι οἰνῶδες καὶ ἄλλως ἡδὺ καὶ εὔτονον. ἤδη δέ τισι
καὶ τῶν ἐν Ἑλλάδι συμβεβηκέναι λέγουσι τοῦτο, ὥστε μηδὲν
διαφέρειν οἴνου παλαιοῦ· καὶ ζητοῦντας ὕστερον τὴν κρᾶσιν
μὴ δύνασθαι εὑρεῖν.*

3 *Περὶ Θετταλίαν μνημονεύουσιν ὄφεις ζῳογονηθῆναι το-
σούτους ὥστε, εἰ μὴ ὑπὸ τῶν πελαργῶν ἀνῃροῦντο, ἐκχω-
ρῆσαι ἂν αὐτούς. διὸ δὴ καὶ τιμῶσι τοὺς πελαργούς, καὶ
κτείνειν οὐ νόμος· καὶ ἐάν τις κτείνῃ, ἔνοχος τοῖς αὐτοῖς*
4 *γίνεται οἷσπερ καὶ ὁ ἀνδροφόνος. ὡσαύτως καὶ ἐν Λακε-
δαίμονι κατά τινας χρόνους μνημονεύεται γενέσθαι τοσοῦτον
πλῆθος ὄφεων ὥστε διὰ σπανοσιτίαν καὶ τροφῇ τοὺς Λάκωνας
χρῆσθαι αὐτοῖς· ὅθεν καὶ τὴν Πυθίαν φασὶ προσαγορεῦσαι
αὐτοὺς ὀφιοδείρους.*

5 *Ἐν Γυάρῳ τῇ νήσῳ λέγεται τοὺς μῦς τὸν σίδηρον ἐσθίειν.*
6 *φασὶ δὲ καὶ ⟨κατὰ⟩ τοὺς Χάλυβας ἔν τινι ὑπερκειμένῳ
αὐτοῖς νησιδίῳ τὸ χρυσίον συμφορεῖσθαι παρὰ πλειόνων.
διὸ δὴ καὶ τοὺς ἐν τοῖς μετάλλοις ἀνασχίζουσιν, ὡς ἔοικεν.*

7 *Λέγεται δὲ ἐκ Σούσων εἰς Μηδίαν ἰοῦσιν ἐν τῷ δευτέρῳ
σταθμῷ σκορπίων ἄπλετόν τι πλῆθος γίνεσθαι. διὸ καὶ ὁ
βασιλεὺς ὁ Περσῶν, ὅτε διοδεύοι, τρεῖς ἡμέρας ἔμενε, τοῖς
αὐτοῦ πᾶσι συντάσσων ἐκθηρεύειν· τῷ δὲ πλείστους θηρεύ-
σαντι ἆθλον ἐδίδου.*

8 *Ἐν Κυρήνῃ δέ φασιν οὐχ ἓν εἶναι μυῶν γένος, ἀλλὰ
πλείω καὶ διάφορα καὶ ταῖς μορφαῖς καὶ ταῖς χρόαις· ἐνίους* 832

1 *εὔστομον* malebat Sylburg ‖ 5 Plut. de Is. et Osir. c. 74 ‖ 9 *ὥσπερ* pr. S^a ‖ 11 *τροφὴν* S^a ‖ 13 *ὀφιοβόρους* Meziriac ex Plut. de Pyth. or. c. 24 (406 E), *ὀφιοθήρας* vel *ὀφιοδαίτας* Lobeck ‖ 14 Theophr. fragm. 174, 8 p. 221 Wim. Plin. h. n. 8, 57. Antig. c. 18. Ael. 5, 14 ‖ *Γυάρῳ* Marsilius Cagnatus: *Κύπρῳ* codd. ‖ 15 Theophr. l. l. ‖ *κατὰ* add. Val. Rose Arist. pseudep. p. 336, *περὶ* Heyne ‖ 16 *περὶ* S^a ‖ 17 *δὴ* om. S^a ‖ 18 Ael. 15, 26 ‖ *δὲ καὶ* S^a ‖ 19 *διὸ δὴ καὶ βασιλεὺς πέρσης* S^a ‖ 20 *τοῖς αὐτοῦ πᾶσι* 'omnibus qui ibi erant' S^a: *πᾶσι τοῖς αὐτοῦ* *Bekker cum plerisque* codd. ‖ 23 Ael. l. l.

γὰρ πλατυπροσώπους, ὥσπερ αἱ γαλαῖ, γίνεσθαι, τινὰς δὲ ἐχινώδεις, οὓς καλοῦσιν ἐχῖνας.

Περὶ Κιλικίαν δέ φασιν εἶναι ὕδατος συστρεμμάτιον, 29 εἰς ὃ τὰ πεπνιγμένα τῶν ὀρνέων καὶ τῶν λοιπῶν ζῴων ὅταν ἀποβαφῇ, πάλιν ἀναβιοῖ.

Ἐν δὲ Σκύθαις τοῖς καλουμένοις Γελωνοῖς φασὶ θηρίον 30 τι γίνεσθαι, σπάνιον μὲν ὑπερβολῇ, ὃ ὀνομάζεται τάρανδος· λέγεται δὲ τοῦτο μεταβάλλειν τὰς χρόας τῆς τριχὸς καθ' ὃν ἂν καὶ τόπον ᾖ. διὰ δὲ τοῦτο εἶναι δυσθήρατον [καὶ διὰ τὴν μεταβολήν]· καὶ γὰρ δένδρεσι καὶ τόποις, καὶ ὅλως ἐν οἷς ἂν ᾖ, τοιοῦτον τῇ χροίᾳ γίνεσθαι. θαυμασιώτατον δὲ τὸ τὴν τρίχα μεταβάλλειν· τὰ μὲν γὰρ λοιπὰ τὸν χρῶτα, οἷον ὅ τε χαμαιλέων καὶ ὁ πολύπους. τὸ δὲ μέγεθος ὡσανεὶ βοῦς. τοῦ δὲ προσώπου τὸν τύπον ὅμοιον ἔχει ἐλάφῳ.

Λέγεται δέ τινα ἐν Ἀβύδῳ παρακόψαντα τῇ διανοίᾳ 31 καὶ εἰς τὸ θέατρον ἐρχόμενον ἐπὶ πολλὰς ἡμέρας θεωρεῖν, ὡς ὑποκρινομένων τινῶν, καὶ ἐπισημαίνεσθαι· καὶ ὡς κατέστη τῆς παρακοπῆς, ἔφησεν ἐκεῖνον αὐτῷ τὸν χρόνον ἥδιστα βεβιῶσθαι. καὶ ἐν Τάραντι δέ φασιν οἰνοπώλην τινὰ τὴν 32 μὲν νύκτα μαίνεσθαι, τὴν δ' ἡμέραν οἰνοπωλεῖν. καὶ γὰρ τὸ κλειδίον τοῦ οἰκήματος πρὸς τῷ ζωνίῳ διεφύλαττε, πολλῶν δ' ἐπιχειρούντων παρελέσθαι καὶ λαβεῖν οὐδέποτε ἀπώλεσεν.

Ἐν Τήνῳ τῇ νήσῳ φασὶν εἶναι φιάλιον σύγκραμα ἔχον, 33 ἐξ οὗ πῦρ ἀνάπτουσι πάνυ ῥᾳδίως. καὶ ἐν Βιθυνίᾳ δὲ τῆς Θρᾴκης ἐν τοῖς μετάλλοις γίνεται ὁ καλούμενος σπίνος,

1 γίνεσθαι τινὰς δὲ] τοὺς δὲ S^a ‖ 3 Sotion c. 6 ‖ συστρεμμάτιον] σύστημά τι Schrader in Fleckeis. ann. 97, 222 ‖ 6 Theophr. fragm. 172, 1 p. 218 Wim. Antig. c. 25. Steph. Byz. s. v. Γελωνοί. Ael. 2, 16 ‖ 7 τάρανδρος S^a ‖ 9 καὶ — 10 μεταβολὴν seclusit Heyne ‖ 11 γίνεται S^a ‖ 14 ἐλάφου S^a ‖ 15 Hor. epp. 2, 2, 128 ‖ 20 καὶ γὰρ τὸ] τὸ γὰρ S^a ‖ 21 διεφυλάττετο S^a ‖ 23 Steph. Byz. s. v. Τῆνος ‖ Τήνῳ] τινι S^a ‖ ἔχον om. S^a ‖ 24 οὗ φασὶ S^a ‖ Σιθωνίᾳ Sylburg ‖ 25 καλούμενος] λεγόμενος S^a ‖ σπίνις S^a

34 ἐξ οὗ φασὶ πῦρ ἀνάπτεσθαι. ἐν δὲ Λιπάρᾳ τῇ νήσῳ λέ-
γουσιν εἶναί τινα εἰσπνοήν, εἰς ἣν ἐὰν κρύψωσι χύτραν,
35 ἐμβαλόντες ὃ ἂν ἐθέλωσιν ἕψουσιν. ἔστι δὲ καὶ ἐν Μηδίᾳ 833a
καὶ ἐν Ψιττακηνῇ τῆς Περσίδος πυρὰ καιόμενα, τὸ μὲν ἐν
Μηδίᾳ ὀλίγον, τὸ δ' ἐν Ψιττακηνῇ πολὺ καὶ καθαρὸν τῇ
φλογί· διὸ καὶ μαγειρεῖα πρὸς αὐτῷ κατεσκεύασεν ὁ Περσῶν
βασιλεύς. ἄμφω δ' ἐν ὁμαλοῖς τόποις καὶ οὐκ ἐν ὑψηλοῖς.
ταῦτα δὲ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν φανερά, τὰ δὲ περὶ
36 Παμφυλίαν νύκτωρ μόνον. φασὶ δὲ καὶ περὶ Ἀτιτανίαν,
πρὸς τοῖς ὁρίοις τῆς Ἀπολλωνιάτιδος, εἶναί τινα πέτραν ἐξ
ἧς τὸ μὲν ἀνιὸν πῦρ οὐ φανερόν ἐστιν, ἐπειδὰν δὲ ἔλαιον
37 ἐπιχυθῇ ἐπ' αὐτήν, ἐκφλογοῦται. λέγεται δὲ καὶ τὰ ἔξω
στηλῶν Ἡρακλείων καίεσθαι, τὰ μὲν διὰ παντός, τὰ δὲ
νύκτωρ μόνον, ὡς ὁ Ἄννωνος περίπλους ἱστορεῖ. καὶ τὸ
ἐν Λιπάρᾳ δὲ φανερὸν καὶ φλογῶδες, οὐ μὴν ἡμέρας, ἀλλὰ
νύκτωρ μόνον. εἶναι δὲ καὶ ἐν Πιθηκούσαις φασὶ πυρῶδες
38 μὲν καὶ θερμὸν ἐκτόπως, οὐ μέντοι καιόμενον. τὸ δ' ἐν τῇ
Λιπάρᾳ ποτὲ καὶ ἐκλιπεῖν Ξενοφάνης φησὶν ἐπ' ἔτη ἑκκαί-
δεκα, τῷ δὲ ἑβδόμῳ ἐπανελθεῖν. τὸν δ' ἐν τῇ Αἴτνῃ ῥύακα
οὔτε φλογώδη φασὶν οὔτε συνεχῆ, ἀλλὰ διὰ πολλῶν ἐτῶν
39 γίνεσθαι. λέγεται δὲ καὶ περὶ Λυδίαν ἀναζέσαι πῦρ πάμ-
40 πληθες, καὶ καίεσθαι ἐφ' ἡμέρας ἑπτά. θαυμαστὸν δὲ τὸ
ἐν Σικελίᾳ περὶ τὸν ῥύακα γινόμενον· τὸ γὰρ πλάτος ἐστὶ
τὸ τῆς τοῦ πυρὸς ἀναζέσεως τεσσαράκοντα σταδίων, τὸ δὲ
41 ὕψος δι' οὗ φέρεται, τριῶν. φασὶ δὲ τὸν ἐν τῇ Θρᾴκῃ
λίθον τὸν καλούμενον σπίνον διακοπέντα καίεσθαι, καὶ

3 Steph. Byz. s. s. Ψιττακή ‖ 4 Ψιττακίνη S^a ‖ 6 αὐτὸ S^a ‖ 7 ὁμαλοῖς καὶ οὐκ ἐν ὑψηλοῖς τόποις S^a, ὁμαλοῖς τόποις καὶ οὐκ ἐν ἀνωμάλοις ceteri praeter unum, qui facit cum S^a ‖ 8 ταῦτα δὲ καὶ om. S^a ‖ 9 cf. c. 127 ‖ 12 Hann. peripl. 14 (Geogr. gr. min. ed. Car. Müller p. 11). Plin. 3, 9. 2, 88 ‖ δὲ om. S^a ‖ 17 τῇ om. S^a ‖ 18 ἐκλείπειν S^a ‖ 21 Λυκίαν Beckmann coll. 842b 25 ‖ 25 Theophr. de lap. 24. cf. c. 33 ‖ 26 καίεσθαι ex marg. illatum putat Heyne

συντεθέντα πρὸς ἑαυτόν, ὥσπερ τὴν σμαρίλην, οὕτως κἀκεῖνον εἰς ἑαυτὸν τεθέντα καὶ ἐπιρραινόμενον ὕδατι καίεσθαι. τὸ δ' αὐτὸ ποιεῖν καὶ τὸν μαριέα.

Περὶ Φιλίππους τῆς Μακεδονίας εἶναι λέγουσι μέταλλα, 42
ἐξ ὧν τὰ ἐκβαλλόμενα ἀποσύρματα αὐξάνεσθαί φασι καὶ 5
φύειν χρυσίον, καὶ τοῦτ' εἶναι φανερόν. φασὶ καὶ ἐν Κύπρῳ 43
περὶ τὸν καλούμενον Τυρρίαν χαλκὸν ὅμοιον γίγνεσθαι. κατακόψαντες γάρ, ὡς ἔοικεν, εἰς μικρὰ σπείρουσιν αὐτόν· εἶθ' ὑδάτων ἐπιγενομένων αὐξάνεται καὶ ἀνίεται καὶ οὕτως συνάγεται.
φασὶ δὲ καὶ ἐν Μήλῳ τῇ νήσῳ ἐν τοῖς ἐξορυσσομένοις τό- 44
ποις τῆς γῆς πάλιν ἀναπληρώματα γίγνεσθαι. 11

Περὶ Παιονίαν λέγουσιν, ὅταν συνεχεῖς ὄμβροι γίνωνται, 45
εὑρίσκεσθαι περιτηκομένης τῆς γῆς χρυσὸν τὸν καλούμενον ἄπυρον. λέγουσι δ' ἐν τῇ Παιονίᾳ οὕτω χρυσίζειν τὴν γῆν
ὥστε πολλοὺς εὑρηκέναι καὶ ὑπὲρ μνᾶν χρυσίου ὁλκήν. τῷ 15
δὲ βασιλεῖ φασιν εὑρόντας ἀνενεγκεῖν δύο βώλους, τὸν μὲν τρεῖς μνᾶς ἄγοντα, τὸν δὲ πέντε· οὓς φασιν ἐπὶ τῆς τραπέζης αὐτῷ παρακεῖσθαι, καὶ ἐπ' ἐκείνων πρῶτον, εἴ τι
ἐσθίει, ἀπάρχεσθαι. φασὶ δὲ καὶ ἐν Βάκτροις τὸν Ὦξον 46
ποταμὸν καταφέρειν βωλία χρυσίου πλήθει πολλά, καὶ ἐν 20
Ἰβηρίᾳ δὲ τὸν καλούμενον Θεόδωρον ποταμὸν ἐκβράσσειν τε πολὺ περὶ τὰ χείλη χρυσίον, ὁμοίως δὲ καὶ καταφέρειν.

Λέγουσι δὲ καὶ ἐν Πιερίᾳ τῆς Μακεδονίας ἄσημόν τι 47

1 *σμαρίλλην* S^a ‖ 2 *τιθέντα* S^a ‖ 3 *μαριέα* S^a: *μαριθὰν* tres Bekk. codd., *θρακίαν* Sylburg, *νάφθαν* Salmasius ‖ 4 cf. Arist. frg. 1523b 21 sqq. ‖ *τοὺς ἐν Μακεδονίᾳ* S^a ‖ 5 *αὐξάνεσθαί φασιν ἀποσύρματα* S^a ‖ 6 cf. Arist. frg. 1523b 25 sqq. ‖ 7 *περὶ τὸ λεγόμενον Κούριον* Meursius ‖ 9 *ἀνίεται*] *ἐξανίησι* S^a. Utrumque fort. *διττογραφίᾳ* ortum ex antecedente *αὐξάνεται* ‖ 10 cf. Arist. frg. 1523b 30 sqq. ‖ 11 *πάλιν* om. S^a ‖ 12 cf. Arist. frg. 1523b 33 sqq. ‖ *γένωνται* S^a ‖ 15 *ὑπὲρ τὴν μνᾶν* S^a ‖ 19 cf. Arist. frg. 1523b 42 sqq. ‖ *ὦξον* S^a ‖ 21 *Θερμοδόων* seu *Θερμοδῶν* Beckmann; sed nihil mutandum, nam *Θεόδωρον* i. q. *Δούριον* cf. Rose Arist. frg. (tertiis curis retractata Teubner 1886) p. 206 adnot. ‖ 23 cf. Arist. frg. 1524a 1 sqq.

χρυσίον κατορωρυγμένον ὑπὸ τῶν ἀρχαίων βασιλέων, χασμάτων τε τεττάρων ὄντων, ἐξ ἑνὸς αὐτῶν ἀναφῦναι χρυσίον
48 τὸ μέγεθος σπιθαμιαῖον. λέγεται δὲ ἰδιωτάτην εἶναι γένεσιν σιδήρου τοῦ Χαλυβικοῦ καὶ τοῦ Ἀμισηνοῦ. συμφύεται γάρ, ὥς γε λέγουσιν, ἐκ τῆς ἄμμου τῆς καταφερομένης ἐκ τῶν ποταμῶν. ταύτην δ' οἱ μὲν ἁπλῶς φασὶ πλύναντας καμινεύειν, οἱ δὲ τὴν ὑπόστασιν τὴν γενομένην ἐκ τῆς πλύσεως πολλάκις πλυθεῖσαν συγκαίειν, παρεμβάλλειν δὲ τὸν πυρίμαχον καλούμενον λίθον· εἶναι δ' ἐν τῇ χώρᾳ πολύν. οὗτος δ' ὁ σίδηρος πολὺ τῶν ἄλλων γίνεται καλλίων. εἰ δὲ μὴ ἐν μιᾷ καμίνῳ ἐκαίετο, οὐδὲν ἄν, ὡς ἔοικε, διέφερε τἀργυρίου. μόνον δέ φασιν αὐτὸν ἀνίωτον εἶναι, οὐ πολὺν δὲ γίνεσθαι.

49 Φασὶ δὲ καὶ ἐν Ἰνδοῖς τὸν χαλκὸν οὕτως εἶναι λαμπρὸν 834ᵃ
καὶ καθαρὸν καὶ ἀνίωτον, ὥστε μὴ διαγινώσκεσθαι τῇ χρόᾳ πρὸς τὸν χρυσόν, ἀλλ' ἐν τοῖς Δαρείου ποτηρίοις βατιάκας εἶναί τινας καὶ πλείους, ἃς εἰ μὴ τῇ ὀσμῇ, ἄλλως οὐκ ἦν διαγνῶναι πότερόν εἰσι χαλκαῖ ἢ χρυσαῖ.

50 Τὸν κασσίτερον τὸν Κελτικὸν τήκεσθαί φασι πολὺ τάχιον μολύβδου. σημεῖον δὲ τῆς εὐτηξίας, ὅτι τήκεσθαι δοκεῖ καὶ ἐν τῷ ὕδατι· χρώζει γοῦν, ὡς ἔοικε, ταχύ. τήκεται δὲ καὶ ἐν τοῖς ψύχεσιν, ὅταν γένηται πάγη, ἐγκατακλειομένου ἐντός, ὥς φασί, καὶ συνωθουμένου τοῦ θερμοῦ τοῦ ἐνυπάρχοντος αὐτῷ διὰ τὴν ἀσθένειαν.

51 Ἐν τῷ Πανθείῳ ἐστὶν ἐλαία, καλεῖται δὲ καλλιστέφανος· ταύτης πάντα τὰ φύλλα ταῖς λοιπαῖς ἐλαίαις ἐναντία πέ-

2 τε add. Sylburg ‖ 3 cf. Arist. frg. 1524ᵃ 5 sqq. ‖ 4 Ἀμισηνοῦ] ἀσήμου legendum suspicatur Val. Rose l. l. p. 207 ‖ 6 πλύναντας Sylburg: πλύναντες codd. ‖ 7 τῆς γινομένης Sᵃ ‖ φύσεως Sᵃ ‖ 8 δὲ τῷ πυρὶ μάχον Sᵃ ‖ 11 ἐκκαίετο Sᵃ ‖ ἀργύρου Sᵃ ‖ 13 cf. Arist. frg. 1524ᵃ 16 sqq. ‖ 15 βατιάκας Sylburg: Val. Rose l. l. p. 208: βατιακὰς pr. Sᵃ, Bekker, βατιανὰς rc. Sᵃ ‖ 18 cf. Arist. frg. 1524ᵃ 22 sqq. ‖ 21 ψύχεσιν] ψήγμασιν Beckmann ‖ εἰ κατακλειομένου Sᵃ ‖ 24 Schol. Arist. Plut. v. 586. Suid. s. v. κοτίνου στεφάνῳ

φυκεν· ἔξω γὰρ ἀλλ' οὐκ ἐντὸς ἔχει τὰ χλωρά. ἀφίησί τε τοὺς πτόρθους ὥσπερ ἡ μύρτος εἰς τοὺς στεφάνους συμμέτρως. ἀπὸ ταύτης δὲ φυτὸν λαβὼν ὁ Ἡρακλῆς ἐφύτευσεν Ὀλυμπίασιν, ἀφ' ἧς οἱ στέφανοι τοῖς ἀθληταῖς δίδονται. ἔστι δὲ αὕτη παρὰ τὸν Ἰλισσὸν ποταμόν, σταδίους ἑξήκοντα τοῦ ποταμοῦ ἀπέχουσα· περιῳκοδόμηται δέ, καὶ ζημία μεγάλη τῷ θιγόντι αὐτῆς ἐστίν. ἀπὸ ταύτης δὲ τὸ φυτὸν λαβόντες Ἠλεῖοι ἐφύτευσαν ἐν Ὀλυμπίᾳ, καὶ τοὺς στεφάνους ἀπ' αὐτῆς ἔδωκαν.

52 Ἐν τοῖς περὶ Λυδίαν μετάλλοις τοῖς περὶ Πέργαμον, ἃ δὴ καὶ Κροῖσος εἰργάσατο, πολέμου τινὸς γενομένου κατέφυγον οἱ ἐργαζόμενοι ἐπ' αὐτά, τοῦ δὲ στομίου ἐποικοδομηθέντος ἀπεπνίγησαν· καὶ ὕστερον χρόνῳ πολλῷ τῶν μετάλλων ἀνακαθαρθέντων εὑρέθη οἷς ἐχρῶντο ἀγγείοις πρὸς τὰς ὑπὸ χεῖρα χρείας ἀπολελιθωμένα, οἷον ἀμφορεῖς καὶ τὰ τοιουτότροπα. ταῦτα δὴ πεπληρωμένα οὗ τινὸς ἔτυχον ὑγροῦ ἐλελίθωτο, καὶ προσέτι τὰ ὀστᾶ τῶν ἀνθρώπων.

53 Ἐν τῇ Ἀσκανίᾳ λίμνῃ οὕτω νιτρῶδές ἐστι τὸ ὕδωρ ὥστε τὰ ἱμάτια οὐδενὸς ἑτέρου ῥύμματος προσδεῖσθαι· κἂν πλείω χρόνον ἐν τῷ ὕδατι ἐάσῃ τις, διαπίπτει. 54 περὶ τὴν Ἀσκανίαν λίμνην Πυθόπολίς ἐστι κώμη ἀπέχουσα Κίου ὡς σταδίους ἑκατὸν εἴκοσι, ἐν ᾗ τοῦ χειμῶνος ἀναξηραίνεται 834b πάντα τὰ φρέατα ὥστε μὴ ἐνδέχεσθαι βάψαι τὸ ἀγγεῖον, τοῦ δὲ θέρους πληροῦται ἕως τοῦ στόματος.

55 Ὁ πορθμὸς ὁ μεταξὺ Σικελίας καὶ Ἰταλίας αὔξεται καὶ φθίνει ἅμα τῷ σεληνίῳ. 56 καὶ ἰόντι ἐπὶ τῆς ὁδοῦ τῆς εἰς Συρακούσας κρήνη ἐστὶν ἐν λειμῶνι οὔτε μεγάλη οὔτε ὕδωρ

1 ἔξω γὰρ οὐκ, ἀλλ' ἐντὸς Kuster ‖ 2 συμμέτρους S^a, Suidas ‖ 7 θήγοντι S^a ‖ ταύτης S^a ‖ 8 ἠλεῖοι ἐφύτευσαν S^a: ἐφύτευσαν Ἠλεῖοι ceteri ‖ 10 totum caput interpolatum esse censet Heyne ‖ 16 δὲ S^a ‖ 18 Antig. c. 156 ‖ 20 διαπίπτειν S^a ‖ Antig. c. 162 ‖ 22 ἀναξηραίνεσθαι codd. ‖ 25 Antig. c. 125 ‖ 26 Sotion c. 7 ‖ καὶ ἰόντι (vel κατιόντι) scripsi: καὶ διότι codd.

ἔχουσα πολύ· συναπαντήσαντος δὲ εἰς τὸν τόπον ὄχλου
57 πολλοῦ παρέσχεν ὕδωρ ἄφθονον. ἔστι δὲ καὶ κρήνη τις
ἐν Παλικοῖς τῆς Σικελίας, ὡς δεκάκλινος· αὕτη δ' ἀναρριπτεῖ ὕδωρ εἰς ὕψος ἓξ πήχεις, ὥστε ὑπὸ τῶν ἰδόντων νομίζεσθαι κατακλυσθήσεσθαι τὸ πεδίον· καὶ πάλιν εἰς ταὐτὸ καθίσταται. ἔστι δὲ καὶ ὅρκος, ὃς ἅγιος αὐτόθι δοκεῖ εἶναι· ὅσα γὰρ ὄμνυσί τις, γράψας εἰς πινακίδιον ἐμβάλλει εἰς τὸ ὕδωρ. ἐὰν μὲν οὖν εὐορκῇ, ἐπιπολάζει τὸ πινακίδιον· ἐὰν δὲ μὴ εὐορκῇ, τὸ μὲν πινακίδιον βαρὺ γενόμενον ἀφανίζεσθαί φασι, τὸν δ' ἄνθρωπον πίμπρασθαι. διὸ δὴ λαμβάνειν τὸν ἱερέα παρ' αὐτοῦ ἐγγύας ὑπὲρ τοῦ καθαίρειν τινὰ τὸ ἱερόν.

58 Δημόνησος ἡ Χαλκηδονίων νῆσος ἀπὸ Δημονήσου τοῦ πρώτου ἐργασαμένου τὴν ἐπωνυμίαν εἴληφεν· ἔχει δ' ὁ τόπος κυανοῦ τὸ μέταλλον καὶ χρυσοκόλλης. ταύτης δ' ἡ καλλίστη πρὸς χρυσίον εὑρίσκει τιμήν· καὶ γὰρ φάρμακον ὀφθαλμῶν ἐστίν. ἔστι δὲ αὐτόθι χαλκὸς κολυμβητὴς ἐν δυοῖν ὀργυιαῖς τῆς θαλάσσης· ὅθεν ὁ ἐν Σικυῶνί ἐστιν ἀνδριὰς ἐν τῷ ἀρχαίῳ νεῷ τοῦ Ἀπόλλωνος καὶ ἐν Φενεῷ οἱ ὀρείχαλκοι καλούμενοι. ἐπιγέγραπται δ' αὐτοῖς "Ἡρακλῆς Ἀμφιτρύωνος Ἦλιν ἑλὼν ἀνέθηκεν." αἱρεῖ δὲ τὴν Ἦλιν ἡγουμένης κατὰ χρησμὸν γυναικός, ἧς τὸν πατέρα Αὐγείαν ἀπέκτεινεν. οἱ δὲ τὸν χαλκὸν ὀρύττοντες ὀξυδερκέστατοι γίνονται, καὶ οἱ βλεφαρίδας μὴ ἔχοντες φύουσι· παρὸ καὶ οἱ ἰατροὶ τῷ ἄνθει τοῦ χαλκοῦ καὶ τῇ τέφρᾳ τῇ Φρυγίᾳ
59 χρῶνται πρὸς τοὺς ὀφθαλμούς. ἔστι δὲ αὐτόθι σπήλαιον ὃ
καλεῖται γλαφυρόν· ἐν δὲ τούτῳ κίονες πεπήγασιν ἀπό τινων

2 Sotion c. 8. Steph. Byz. s. v. *Παλική* ‖ 3 *ἀναράπτει* S^a ‖ 5 *πέδον* S^a ‖ *εἰς ἑαυτὸ* Steph. Byz. ‖ 9 *βαρὺ γενόμενον* om. pr. S^a ‖ 10 *καὶ πίμπρασθαι τὸν ἄνθρωπον* rc. S^a ‖ 13 Antig. c. 131. Steph. Byz. s. v. *Δημόνησος* ‖ *Χαλκηδονίων* Salmasius: *Καρχηδονίων* codd. ‖ 17 *κολυμβητός* S^a ‖ 24 *οἱ — φύουσι* vitium subesse videtur ‖ 27 *κίονες* interpres: *χιόνες* codd.

σταλαγμῶν. ἀποδηλοῖ δὲ τοῦτο ἐν τῇ συναγωγῇ τῇ πρὸς τὸ ἔδαφος· ἔστι γὰρ ταύτῃ στενώτατον.

60 *Ἐκ τοῦ ζεύγους δὲ τῶν ἀετῶν θάτερον τῶν ἐγγόνων ἁλιαίετος γίνεται παραλλάξ, ἕως ἂν σύζυγα γένηται. ἐκ δὲ ἁλιαιέτων φήνη γίνεται, ἐκ δὲ τούτων περκνοὶ καὶ γῦπες· οὗτοι δ' οὐκέτι διορίζουσι περὶ τοὺς γῦπας, ἀλλὰ γεννῶσι τοὺς μεγάλους γῦπας· οὗτοι δ' εἰσὶν ἄγονοι. σημεῖον δὲ τοῦτο, διότι νεοττιὰν οὐδεὶς ἑώρακε γυπὸς μεγάλου.*

61 *Θαυμαστὸν δέ τί φασιν ἐν Ἰνδοῖς περὶ τὸν ἐκεῖ μόλυβδον συμβαίνειν· ὅταν γὰρ τακεὶς εἰς ὕδωρ καταχυθῇ ψυχρόν, ἐκπηδᾶν ἐκ τοῦ ὕδατος.*

62 *Φασὶ τὸν Μοσσύνοικον χαλκὸν λαμπρότατον καὶ λευκότατον εἶναι, οὐ παραμιγνυμένου αὐτῷ κασσιτέρου, ἀλλὰ γῆς τινὸς αὐτοῦ γινομένης καὶ συνεψομένης αὐτῷ. λέγουσι δὲ τὸν εὑρόντα τὴν κρᾶσιν μηδένα διδάξαι· διὸ τὰ προγεγονότα ἐν τοῖς τόποις χαλκώματα διάφορα, τὰ δ' ἐπιγιγνόμενα οὐκέτι.*

63 *Ἐν τῷ Πόντῳ λέγουσι τοῦ χειμῶνος τῶν ὀρνέων τινὰ εὑρίσκεσθαι φωλεύοντα, οὔτε ἀφοδεύοντα, οὔτε δὲ ὅταν τὰ πτερὰ αὐτῶν τίλλωσιν, αἰσθάνεσθαι, οὔτε ὅταν ἐπὶ τὸν ὀβελίσκον ἀναπαρῇ, ἀλλ' ὅταν ὑπὸ τοῦ πυρὸς διακαυθῇ. πολλοὺς δὲ καὶ τῶν ἰχθύων λέγουσι περικοπέντας καὶ περιτμηθέντας μὴ αἰσθάνεσθαι, ἀλλ' ὅταν ὑπὸ τοῦ πυρὸς διαθερμανθῶσιν.*

64 *Ἡ μέλιττα δοκεῖ τὰς τροπὰς σημαίνειν τῷ ἐπὶ τὰ ἔργα βαδίζειν, ᾧ καὶ οἱ μελιττοπόλοι σημείῳ χρῶνται· ἠρεμία*

3 Plin. 10, 3 ‖ *ἀετῶν θάτερον τῶν ἐγγόνων*] *ἐκ τῶν ἀετῶν ἑτερογόνων* Conr. Gesner, *ἀετῶν θάτερον τῶν ἐκγόνων* Sylburg ‖ 5 *οἱ περηνοὶ* Sᵃ ‖ *καὶ* om. Sᵃ ‖ 6 *οὗτοι δ'*] *οἵπερ* Sᵃ ‖ 8 *τούτου* malebat Sylburg ‖ 9 cf. Arist. frg. 1524ᵃ 29 sqq. ‖ 10 *συμβαίνει* Sᵃ ‖ *καταχεθῇ* Sᵃ ‖ 12 cf. Arist. frg. 1524ᵃ 32 sqq. ‖ 14 *αὐτῷ γινομένης* Sᵃ; an *αὐτῷ μιγνυμένης*? ‖ 19 οὔτε ἀφοδεύοντα om. Sᵃ ‖ *ὅτε* Sᵃ ‖ 24 θερμανθῶσιν Sᵃ

γὰρ αὐτῶν γίνεται. δοκοῦσι δὲ καὶ οἱ τέττιγες ᾄδειν μετὰ τροπάς.

65 *Φασὶ δὲ καὶ τὸν ἐχῖνον ἄσιτον διαμένειν ἄχρι ἐνιαυτοῦ.*

66 *Τὸν δὲ γαλεώτην, ὅταν ἐκδύσηται τὸ δέρμα, καθάπερ οἱ ὄφεις, ἐπιστραφέντα καταπίνειν· τηρεῖσθαι γὰρ ὑπὸ τῶν ἰατρῶν διὰ τὸ χρήσιμον εἶναι τοῖς ἐπιληπτικοῖς.*

67 *Λέγουσι δὲ καὶ τὸ τῆς ἄρκτου στέαρ, ὅταν διαπεπηγὸς ᾖ διὰ τὸν χειμῶνα, καθ' ὃν ἂν χρόνον ἐκείνη φωλεύῃ, αὐξάνεσθαι καὶ ὑπεραίρειν τὰ ἀγγεῖα ἐν οἷς ἂν ᾖ.*

68 *Ἐν Κυρήνῃ φασὶ τοὺς ὄντας βατράχους ἀφώνους τὸ παράπαν εἶναι. καὶ ἐν Μακεδονίᾳ ἐν τῇ τῶν Ἠμαθιωτῶν χώρᾳ τοὺς σῦς εἶναι μώνυχας.*

69 *Ἐν Καππαδοκίᾳ φασὶν ἡμιόνους εἶναι γονίμους καὶ ἐν Κρήτῃ αἰγείρους καρποφόρους.*

70 *Φασὶ δὲ καὶ ἐν Σερίφῳ τοὺς βατράχους οὐκ ᾄδειν· ἐὰν δὲ εἰς ἄλλον τόπον μετενεχθῶσιν, ᾄδουσιν.*

71 *Ἐν Ἰνδοῖς ἐν τῷ Κέρατι καλουμένῳ ἰχθύδιά φασι γίνεσθαι ἃ ἐν τῷ ξηρῷ πλανᾶται καὶ πάλιν ἀποτρέχει εἰς τὸν*
72 *ποταμόν. φασὶ δὲ καὶ περὶ Βαβυλῶνά τινες ἰχθύας τινὰς μένειν ἐν ταῖς τρώγλαις ταῖς ἐχούσαις ὑγρότητα ξηραινομένου τοῦ ποταμοῦ· τούτους ἐξιόντας ἐπὶ τὰς ἅλως νέμεσθαι, καὶ βαδίζειν ἐπὶ τῶν πτερύγων, καὶ ἀνακινεῖν τὴν οὐράν· καὶ ὅταν διώκωνται, φεύγειν καὶ εἰσδύντας ἀντιπροσώπως ἵστασθαι· πολλάκις γὰρ προσιέναι τινὰς καὶ ἐρεθίζειν. ἔχουσι δὲ τὴν κεφαλὴν ὁμοίαν βατράχῳ θαλαττίῳ, τὸ δὲ ἄλλο σῶμα κωβιῷ, βραγχία δὲ ὥσπερ καὶ οἱ ἄλλοι ἰχθύες.*

4 Theophr. fragm. 175 p. 221 Wim. Trophilus ap. Stob. floril. 100, 23 ‖ 7 Theophr. de odor. c. 13 p. 92 Wim. ‖ 10 Arist. hist. an. 606ᵃ 6. 499ᵇ 13 sq. Antig. c. 66 ‖ 13 Theophr. ap. Plin. 8, 44 et hist. plant. 3, 5 ‖ 15 Antig. c. 4. Ael. 3, 37 ‖ 17 Theophr. de pisc. fr. 171, 2 Wim. ‖ 18 *ὑποτρέχει* Sᵃ ‖ 19 Theophr. l. l. ‖ 21 *δὲ τοῦ* Sᵃ ‖ *τὰς ἅλως*] *τοὺς ἀγροὺς* malebat Beckmann ‖ 23 *ἀντιπροσώπους* Beckmann cum Theophrasto

Ἐν Ἡρακλείᾳ δὲ τῇ ἐν τῷ Πόντῳ καὶ ἐν Ῥηγίῳ γίνε- 73
σθαί φασιν ὀρυκτοὺς ἰχθῦς, τούτους δὲ μάλιστα κατὰ τὰ
ποτάμια καὶ τὰ ἔνυδρα χωρία. συμβαίνειν δέ ποτε ἀνα-
ξηραινομένων τῶν χωρίων κατά τινας χρόνους συστέλλεσθαι
κατὰ γῆς, εἶτα μᾶλλον ἀναξηραινομένης διώκοντας τὴν ὑγρό-
τητα δύεσθαι εἰς τὴν ἰλύν, εἶτα ξηραινομένης διαμένειν ἐν
τῇ ἰκμάδι, ὥσπερ τὰ ἐν ταῖς φωλεαῖς διαρκοῦντα. ὅταν δὲ
ἀνασκάπτωνται πρὶν ἢ τὰ ὕδατα ἐπιγενέσθαι, τότε κινεῖσθαι.
φασὶ δὲ καὶ περὶ Παφλαγονίαν τοὺς ὀρυκτοὺς γίνεσθαι 74
ἰχθῦς κατὰ βάθους, τούτους δὲ τῇ ἀρετῇ ἀγαθούς, οὔτε
ὑδάτων φανερῶν πλησίον ὄντων οὔτε ποταμῶν ἐπιρρεόντων,
ἀλλ' αὐτῆς ζῳογονούσης τῆς γῆς.

Τὰς ἐν Ἠπείρῳ ἐλάφους κατορύττειν φασὶ τὸ δεξιὸν 75
κέρας, ὅταν ἀποβάλωσι, καὶ εἶναι πρὸς πολλὰ χρήσιμον. καὶ 76
τὴν λύγκα δέ φασι τὸ οὖρον κατακαλύπτειν διὰ τὸ πρὸς
ἄλλα τε χρήσιμον εἶναι καὶ τὰς σφραγῖδας. φασὶ δὲ καὶ τὴν 77
φώκην ἐξεμεῖν τὴν πυτίαν, ὅταν ἁλίσκηται· εἶναι δὲ φαρ-
μακῶδες καὶ τοῖς ἐπιλήπτοις χρήσιμον.

Λέγεται δὲ περὶ τὴν Ἰταλίαν ἐν τῷ Κιρκαίῳ ὄρει φάρ- 78
μακόν τι φύεσθαι θανάσιμον, ὃ τοιαύτην ἔχει τὴν δύναμιν
836a ὥστε, ἂν προσρανθῇ τινί, παραχρῆμα πίπτειν ποιεῖ, καὶ τὰς
τρίχας τὰς ἐν τῷ σώματι ἀπομαδᾶν, καὶ τὸ σύνολον τοῦ
σώματος διαρρεῖν τὰ μέλη, ὥστε τὴν ἐπιφάνειαν τοῦ σώ-
ματος εἶναι τῶν ἀπολλυμένων ἐλεεινήν. τοῦτο δέ φασι
μέλλοντας διδόναι Κλεωνύμῳ τῷ Σπαρτιάτῃ Αὖλον τὸν

1 Theophr. l. l. fr. 171, 7 Wim. et Plin. 9, 57 ‖ ἐν Ῥηγίῳ] περὶ Τίον Rose Arist. pseudepigr. p. 358 ‖ 3 ποτε κατὰ τοῦτον τὸν τόπον ἀναξ. Sa ‖ 6 δύεσθαι εἰς τὴν ἰλύν scripsi: διΐεσθαι εἰς τὴν ὕλην codd. cf. Theophr. l. l. δύεσθαι κατὰ τῆς γῆς et quae nostro loco sequuntur ἐν τῇ ἰκμάδι ‖ 9 Theophr. l. l. ‖ 13 Arist. h. a. 611a 29 sq. Theophr. fragm. 175 p. 221 Wim. Antig. c. 20 ‖ 14 Theophr. l. l. ‖ 15 λαρύγγα Sa ‖ 16 χρύσιμον Sa ‖ Theophr. l. l. Antig. c. 20. Trophilus ap. Stob. floril. 100, 23 ‖ 22 ἀπομαδεῖν Sa ‖ 23 διαργεῖν Sa. Locus corruptus videtur ‖ 25 Αὖλον] ἄρουν rc. Sa

Πευκέστιον καὶ Γάϊον φωραθῆναι, καὶ ἐξετασθέντας ὑπὸ Ταραντίνων θανατωθῆναι.

79 *Ἐν τῇ Διομηδείᾳ νήσῳ, ἣ κεῖται ἐν τῷ Ἀδρίᾳ, φασὶν ἱερόν τι εἶναι τοῦ Διομήδους θαυμαστόν τε καὶ ἅγιον, περὶ δὲ τὸ ἱερὸν κύκλῳ περικαθῆσθαι ὄρνιθας μεγάλους τοῖς μεγέθεσι, καὶ ῥύγχη ἔχοντας μεγάλα καὶ σκληρά. τούτους λέγουσιν, ἐὰν μὲν Ἕλληνες ἀποβαίνωσιν εἰς τὸν τόπον, ἡσυχίαν ἔχειν, ἐὰν δὲ τῶν βαρβάρων τινὲς τῶν περιοίκων, ἀνίπτασθαι καὶ αἰωρουμένους καταράσσειν αὐτοὺς εἰς τὰς κεφαλὰς αὐτῶν, καὶ τοῖς ῥύγχεσι τιτρώσκοντας ἀποκτείνειν. μυθεύεται δὲ τούτους γενέσθαι ἐκ τῶν ἑταίρων τῶν τοῦ Διομήδους, ναυαγησάντων μὲν αὐτῶν περὶ τὴν νῆσον, τοῦ δὲ Διομήδους δολοφονηθέντος ὑπὸ τοῦ Αἰνέου τοῦ τότε βασιλέως τῶν τόπων ἐκείνων γενομένου.*

80 *Παρὰ τοῖς Ὀμβρικοῖς φασὶ τὰ βοσκήματα τίκτειν τρὶς τοῦ ἐνιαυτοῦ, καὶ τοὺς καρποὺς αὐτοῖς τὴν γῆν πολλαπλασίους ἀνίεσθαι τῶν καταβαλλομένων· εἶναι δὲ καὶ τὰς γυναῖκας πολυγόνους καὶ σπανίως ἓν τίκτειν, τὰς δὲ πλείστας δύο καὶ τρία.*

81 *Ἐν ταῖς Ἠλεκτρίσι νήσοις, αἳ κεῖνται ἐν τῷ μυχῷ τοῦ Ἀδρίου φασὶν εἶναι δύο ἀνδριάντας ἀνακειμένους, τὸν μὲν κασσιτέρινον τὸν δὲ χαλκοῦν, εἰργασμένους τὸν ἀρχαῖον τρόπον. λέγεται δὲ τούτους Δαιδάλου εἶναι ἔργα, ὑπόμνημα τῶν πάλαι, ὅτε Μίνω φεύγων ἐκ Σικελίας καὶ Κρήτης εἰς τούτους τοὺς τόπους παρέβαλε. ταύτας δὲ τὰς νήσους φασὶ προκεχωκέναι τὸν Ἠριδανὸν ποταμόν. ἔστι δὲ καὶ λίμνη, ὡς ἔοικε, πλησίον τοῦ ποταμοῦ, ὕδωρ ἔχουσα θερμόν· ὀσμὴ δ' ἀπ' αὐτῆς βαρεῖα καὶ χαλεπὴ ἀποπνεῖ, καὶ οὔτε ζῷον*

1 *Πευκέντιον* Sa ‖ 3 Ael. hist. an. 1, 1. Antig. c. 172. Plin. 10, 44 ‖ 13 *δὲ* om. Sa ‖ *αἰνείου* Sa ‖ 15 Steph. Byz. s. v. *Ὀμβρικοί* ‖ 18 *σπανίους* pr. Sa ‖ 20 Sotion c. 31. Steph. Byz. s. v. *Ἠλεκτρίδες νῆσοι* ‖ 21 *ἀδρία* Sa ‖ 24 *ὅτι* Sa ‖ *φυγὼν ἐκ τῆς Σικ.* Sa ‖ 26 *προσκεχωκέναι* Sa ‖ *ἔτι* Sa

οὐδὲν πίνει ἐξ αὐτῆς οὔτε ὄρνεον ὑπερίπταται, ἀλλὰ πίπτει
5b καὶ ἀποθνήσκει. ἔχει δὲ τὸν μὲν κύκλον σταδίων διακοσίων, τὸ δὲ εὖρος ὡς δέκα. μυθεύουσι δὲ οἱ ἐγχώριοι Φαέθοντα κεραυνωθέντα πεσεῖν εἰς ταύτην τὴν λίμνην. εἶναι δ' ἐν αὐτῇ αἰγείρους πολλάς, ἐξ ὧν ἐκπίπτειν τὸ καλούμενον ἤλεκτρον. τοῦτο δὲ λέγουσιν ὅμοιον εἶναι κόμμι, ἀποσκληρύνεσθαι δὲ ὡσανεὶ λίθον, καὶ συλλεγόμενον ὑπὸ τῶν ἐγχωρίων διαφέρεσθαι εἰς τοὺς Ἕλληνας. εἰς ταύτας οὖν τὰς νήσους Δαίδαλόν φασιν ἐλθεῖν, καὶ κατασχόντα αὐτὰς ἀναθεῖναι ἐν μιᾷ αὐτῶν τὴν αὑτοῦ εἰκόνα, καὶ τὴν τοῦ υἱοῦ Ἰκάρου ἐν τῇ ἑτέρᾳ. ὕστερον δ' ἐπιπλευσάντων ἐπ' αὐτοὺς Πελασγῶν τῶν ἐκπεσόντων ἐξ Ἄργους φυγεῖν τὸν Δαίδαλον, καὶ ἀφικέσθαι εἰς Ἴκαρον τὴν νῆσον.

Ἐν τῇ Σικελίᾳ περὶ τὴν καλουμένην Ἔνναν σπήλαιόν 82
τι λέγεται εἶναι, περὶ ὃ κύκλῳ πεφυκέναι φασὶ τῶν τε ἄλλων ἀνθέων πλῆθος ἀνὰ πᾶσαν ὥραν, πολὺ δὲ μάλιστα τῶν ἴων ἀπέραντόν τινα τόπον συμπεπληρῶσθαι, ἃ τὴν σύνεγγυς χώραν εὐωδίας πληροῖ, ὥστε τοὺς κυνηγοῦντας, τῶν κυνῶν κρατουμένων ὑπὸ τῆς ὀδμῆς, ἐξαδυνατεῖν τοὺς λαγὼς ἰχνεύειν. διὰ δὲ τούτου τοῦ χάσματος ἀσυμφανής ἐστιν ὑπόνομος, καθ' ὅν φασι τὴν ἁρπαγὴν ποιήσασθαι τὸν Πλούτωνα τῆς Κόρης. εὑρίσκεσθαι δέ φασιν ἐν τούτῳ τῷ τόπῳ πυροὺς οὔτε τοῖς ἐγχωρίοις ὁμοίους, οἷς χρῶνται, οὔτε ἄλλοις ἐπεισάκτοις, ἀλλ' ἰδιότητά τινα μεγάλην ἔχοντας. καὶ τούτῳ σημειοῦνται τὸ πρώτως παρ' αὐτοῖς φανῆναι πύρινον καρπόν. ὅθεν καὶ τῆς Δήμητρος ἀντιποιοῦνται, φάμενοι παρ' αὐτοῖς τὴν θεὸν γεγονέναι.

Ἐν Κρήτῃ λύκους καὶ ἄρκτους τούς τ' ἔχεις, ὁμοίως 83

2 ἔχει] ἔστι rc. S^a ‖ τριακοσίων S^a ‖ 3 ὡσεὶ S^a ‖ δὲ καὶ οἱ S^a ‖ 5 αὐτῷ S^a ‖ 11 ἐν τῇ ἑτέρᾳ om. S^a ‖ 14 Diod. Sic. 5, 3 ‖ ἔνναν rc. S^a: αἴτνη vulgo ‖ 15 δ] δὲ S^a ‖ 28 Ael. h. an. 5, 2. Antig. c. 10 ‖ τούς τ'] corruptum videtur; unus Bekk. habet οὔτ'

δὲ καὶ τὰ παραπλήσια τούτοις θηρία οὔ φασι γίνεσθαι διὰ τὸ τὸν Δία γενέσθαι ἐν αὐτῇ.

84 *Ἐν τῇ θαλάσσῃ τῇ ἔξω Ἡρακλείων στηλῶν φασὶν ὑπὸ Καρχηδονίων νῆσον εὑρεθῆναι ἐρήμην, ἔχουσαν ὕλην τε παντοδαπὴν καὶ ποταμοὺς πλωτούς, καὶ τοῖς λοιποῖς καρποῖς θαυμαστήν, ἀπέχουσαν δὲ πλειόνων ἡμερῶν πλοῦν· ἐν ᾗ ἐπιμισγομένων τῶν Καρχηδονίων πολλάκις διὰ τὴν εὐδαιμονίαν, ἐνίων γε μὴν καὶ οἰκούντων, τοὺς προεστῶτας τῶν Καρχηδονίων ἀπείπασθαι θανάτῳ ζημιοῦν τοὺς εἰς αὐτὴν πλευσομένους, καὶ τοὺς ἐνοικοῦντας πάντας ἀφανίσαι, ἵνα μὴ διαγγέλλωσι, μηδὲ πλῆθος συστραφὲν ἀπαντῶν ἐπὶ τὴν νῆσον κυρίας τύχῃ καὶ τὴν τῶν Καρχηδονίων εὐδαιμονίαν ἀφέληται.*

85 *Ἐκ τῆς Ἰταλίας φασὶν ἕως τῆς Κελτικῆς καὶ Κελτολιγύων καὶ Ἰβήρων εἶναί τινα ὁδὸν Ἡράκλειαν καλουμένην, δι' ἧς ἐάν τε Ἕλλην ἐάν τε ἐγχώριός τις πορεύηται, τηρεῖσθαι ὑπὸ τῶν παροικούντων, ὅπως μηδὲν ἀδικηθῇ· τὴν γὰρ ζημίαν ἐκτίνειν καθ' οὓς ἂν γένηται τὸ ἀδίκημα.*

86 *Φασὶ δὲ παρὰ τοῖς Κελτοῖς φάρμακον ὑπάρχειν τὸ καλούμενον ὑπ' αὐτῶν τοξικόν· ὃ λέγουσιν οὕτω ταχεῖαν ποιεῖν τὴν φθορὰν ὥστε τῶν Κελτῶν τοὺς κυνηγοῦντας, ὅταν ἔλαφον ἢ ἄλλο τι ζῷον τοξεύσωσιν, ἐπιτρέχοντας ἐκ σπουδῆς ἐκτέμνειν τῆς σαρκὸς τὸ τετρωμένον πρὸ τοῦ τὸ φάρμακον διαδῦναι, ἅμα μὲν τῆς προσφορᾶς ἕνεκα, ἅμα δὲ ὅπως μὴ σαπῇ τὸ ζῷον. εὑρῆσθαι δὲ τούτῳ λέγουσιν ἀντιφάρμακον τὸν τῆς δρυὸς φλοιόν· οἱ δ' ἕτερόν τι φύλλον,*

3 Diod. Sic. 5, 19 ‖ 4 *ἔρημον* S^a ‖ 8 *ἐνοικούντων* Heyne ‖ 9 *ἀπείπασθαι*] an *ἀπειλήσασθαι*? ‖ 10 *πλευσομένους*] *πλεῖν προθυμουμένους* rc. S^a ‖ 11 *ἀπαντῶν* scripsi, i. e. conveniens in insulam: *ἐπ' αὐτῶν* codd., delebat Heyne ‖ 12 *κυρείας* S^a ‖ 14 Nicol. Dam. fr. 4 ‖ *καὶ Κελτ. καὶ Ἰβ.* pro gloss. habet Heyne ‖ 19 Plin. 25, 5. 27, 11. Gell. 17, 15 ‖ 22 *τοξεύωσιν* S^a ‖ 23 *πρὸς τὸ τὸ φάρμακον μὴ διαδοῦναι* tres Bekk. codd. ‖ 26 *ὀφλοιὸν* S^a ‖ *φυτὸν* proponebat Sylburg hic et p. 67, 3

Ἐν τῇ Κύμῃ τῇ περὶ τὴν Ἰταλίαν δείκνυταί τις, ὡς 95
ἔοικε, θάλαμος κατάγειος Σιβύλλης τῆς χρησμολόγου, ἣν
πολυχρονιωτάτην γενομένην παρθένον διαμεῖναί φασιν, οὖσαν
μὲν Ἐρυθραίαν, ὑπό τινων δὲ τὴν Ἰταλίαν κατοικούντων
Κυμαίαν, ὑπὸ δέ τινων Μελάγκραιραν καλουμένην. τοῦτον
δὲ τὸν τόπον λέγεται κυριεύεσθαι ὑπὸ Λευκανῶν. εἶναι δὲ
λέγουσιν ἐν ἐκείνοις τοῖς τόποις περὶ τὴν Κύμην ποταμόν
τινα Κετὸν ὀνομαζόμενον, εἰς ὅν φασι τὸν πλείω χρόνον
τὸ ἐμβληθὲν πρῶτον περιφύεσθαι καὶ τέλος ἀπολιθοῦσθαι.

Ἀλκιμένει τῷ Συβαρίτῃ φασὶ κατασκευασθῆναι ἱμάτιον 96
τοιοῦτον τῇ πολυτελείᾳ, ὥστε προτίθεσθαι αὐτὸ ἐπὶ Λακινίῳ
τῇ πανηγύρει τῆς Ἥρας, εἰς ἣν συμπορεύονται πάντες Ἰτα-
λιῶται, τῶν τε δεικνυμένων μάλιστα πάντων ἐκεῖνο θαυμά-
ζεσθαι· οὗ φασὶ κυριεύσαντα Διονύσιον τὸν πρεσβύτερον
ἀποδόσθαι Καρχηδονίοις ἑκατὸν καὶ εἴκοσι ταλάντων. ἦν δ'
αὐτὸ μὲν ἁλουργές, τῷ δὲ μεγέθει πεντεκαιδεκάπηχυ, ἑκα-
τέρωθεν δὲ διείληπτο ζῳδίοις ἐνυφασμένοις, ἄνωθεν μὲν
Σούσοις, κάτωθεν δὲ Πέρσαις· ἀνὰ μέσον δὲ ἦν Ζεύς,
Ἥρα, Θέμις, Ἀθηνᾶ, Ἀπόλλων, Ἀφροδίτη. παρὰ δ' ἑκά-
τερον πέρας Ἀλκιμένης ἦν, ἑκατέρωθεν δὲ Σύβαρις.

Περὶ τὴν ἄκραν τὴν Ἰαπυγίαν φασὶν ἔκ τινος τόπου, 97
ἐν ᾧ συνέβη γενέσθαι, ὡς μυθολογοῦσιν, Ἡρακλεῖ πρὸς
γίγαντας μάχην, ῥεῖν ἰχῶρα πολὺν καὶ τοιοῦτον ὥστε διὰ
τὸ βάρος τῆς ὀσμῆς ἄπλουν εἶναι τὴν κατὰ τὸν τόπον θά-
λασσαν. λέγουσι δὲ πολλαχοῦ τῆς Ἰταλίας Ἡρακλέους εἶναι
πολλὰ μνημόσυνα ἐν ταῖς ὁδοῖς, ἃς ἐκεῖνος ἐπορεύθη. περὶ
δὲ Πανδοσίαν τῆς Ἰαπυγίας ἴχνη τοῦ θεοῦ δείκνυται, ἐφ'
38b ἃ οὐδενὶ ἐπιβατέον. ἔστι καὶ περὶ ἄκραν Ἰαπυγίαν λίθος 98

3 οὖσαν ἐρυθραίου Sa ‖ 8 κάπαν pr. Sa, σκετὸν rc. Sa ‖ 9 φύεσθαι Sa ‖ 10 Athen. 12 p. 541 ‖ ἀντιμένει Sa ‖ 13 τῶν δὲ Sa ‖ 18 Σουσίοις Heyne ‖ 20 ἀλκισθένης Sa ‖ ἑκατέρωθεν] ἔνθεν ἑκατέρου Sa ‖ 21 Strab. 6 p. 281 ‖ 24 τόπον] πόντον Sa

καὶ ἀποστερεοῦσθαι τὴν ἐπιφάνειαν αὐτῆς ὡσανεὶ ἔδαφος.
τοῖς δὲ τριόδουσι διακόπτοντας τοὺς ἐγχωρίους ἑτοίμως ὅσους
90 ἂν βούλωνται ἰχθύας ἐξαίρειν ἐξ αὐτῆς. λέγεται δέ τινας
τῶν Λιγύων οὕτω σφενδονᾶν εὖ ὥστε, ὅταν πλείους ἴδωσιν
ὄρνιθας, διερεθίζεσθαι πρὸς ἀλλήλους ποῖον ἕκαστος παρα-
91 σκευάζεται βαλεῖν, ὡς ἑτοίμως ἁπάντων τευξομένων. ἴδιον
δέ φασι καὶ τοῦτο παρ' αὐτοῖς εἶναι· αἱ γυναῖκες ἅμα ἐργα-
ζόμεναι τίκτουσιν, καὶ τὸ παιδίον ὕδατι περικλύσασαι παρα-
χρῆμα σκάπτουσι καὶ σκάλλουσι καὶ τἄλλα οἰκονομοῦσιν, ἃ
92 καὶ μὴ τικτούσαις αὐταῖς ἦν πρακτέον. θαῦμα δὲ καὶ
τοῦτο παρὰ τοῖς Λίγυσι· φασὶ γὰρ παρ' αὐτοῖς ποταμὸν
εἶναι, οὗ τὸ ῥεῦμα αἴρεται μετέωρον καὶ ῥεῖ, ὥστε τοὺς πέ-
ραν μὴ ὁρᾶσθαι.
93 Ἐν δὲ τῇ Τυρρηνίᾳ λέγεταί τις νῆσος Αἰθάλεια ὀνομα-
ζομένη, ἐν ᾗ ἐκ τοῦ αὐτοῦ μετάλλου πρότερον μὲν χαλκὸς
ὠρύσσετο, ἐξ οὗ φασὶ πάντα κεχαλκευμένα παρ' αὐτοῖς εἶναι,
ἔπειτα μηκέτι εὑρίσκεσθαι, χρόνου δὲ διελθόντος πολλοῦ
φανῆναι ἐκ τοῦ αὐτοῦ μετάλλου σίδηρον, ᾧ νῦν ἔτι χρῶνται
94 Τυρρηνοὶ οἱ τὸ καλούμενον Ποπλώνιον οἰκοῦντες. ἔστι δέ
τις ἐν τῇ Τυρρηνίᾳ πόλις Οἰναρέα καλουμένη, ἣν ὑπερ-
βολῇ φασὶν ὀχυρὰν εἶναι· ἐν γὰρ μέσῃ αὐτῇ λόφος ἐστὶν
ὑψηλός, τριάκοντα σταδίους ἀνέχων ἄνω, καὶ κάτω ὕλην
παντοδαπὴν καὶ ὕδατα. φοβουμένους οὖν τοὺς ἐνοικοῦντας 838a
λέγουσι μή τις τύραννος γένηται, προΐστασθαι αὐτῶν τοὺς
ἐκ τῶν οἰκετῶν ἠλευθερωμένους· καὶ οὗτοι ἄρχουσιν αὐτῶν,
κατ' ἐνιαυτὸν δ' ἄλλους ἀντικαθιστάναι τοιούτους.

3 ἐξαιρεῖν malebat Sylburg ‖ 5 παρασκευάσεται malebat Sylburg ‖ 6 Strabo 3 p. 165 ‖ 10 Strabo 5 p. 222 ‖ θαυμάσιον pr. S^a ‖ 14 Strabo 5 p. 223 ‖ Αἰθάλεια primus posuit Sylburg: θάλεια S^a ‖ 17 ἔπειτα] καὶ rc. S^a ‖ 19 οἱ om. S^a ‖ ποπάνιον S^a, πωπάνιον vulgo. Correxit Victorius ‖ Strab. 5 p. 223. Steph. Byz. s. v. Οἴνα ‖ 20 Οὐλατέρρα Victorius ‖ 22 ὕψος τρ. στ. ἔχων rc. S^a ‖ ὕλη παντοδαπή malebat Sylburg ‖ 24 προϊστάναι Victorius ‖ 26 τοιούτους] τούτοις placebat Sylburgio

Ἐν τῇ Κύμῃ τῇ περὶ τὴν Ἰταλίαν δείκνυταί τις, ὡς 95
ἔοικε, θάλαμος κατάγειος Σιβύλλης τῆς χρησμολόγου, ἣν πολυχρονιωτάτην γενομένην παρθένον διαμεῖναί φασιν, οὖσαν μὲν Ἐρυθραίαν, ὑπό τινων δὲ τὴν Ἰταλίαν κατοικούντων Κυμαίαν, ὑπὸ δέ τινων Μελάγκραιραν καλουμένην. τοῦτον δὲ τὸν τόπον λέγεται κυριεύεσθαι ὑπὸ Λευκανῶν. εἶναι δὲ λέγουσιν ἐν ἐκείνοις τοῖς τόποις περὶ τὴν Κύμην ποταμόν τινα Κετὸν ὀνομαζόμενον, εἰς ὃν φασι τὸν πλείω χρόνον τὸ ἐμβληθὲν πρῶτον περιφύεσθαι καὶ τέλος ἀπολιθοῦσθαι.

Ἀλκιμένει τῷ Συβαρίτῃ φασὶ κατασκευασθῆναι ἱμάτιον 96
τοιοῦτον τῇ πολυτελείᾳ, ὥστε προτίθεσθαι αὐτὸ ἐπὶ Λακινίῳ τῇ πανηγύρει τῆς Ἥρας, εἰς ἣν συμπορεύονται πάντες Ἰταλιῶται, τῶν τε δεικνυμένων μάλιστα πάντων ἐκεῖνο θαυμάζεσθαι· οὗ φασι κυριεύσαντα Διονύσιον τὸν πρεσβύτερον ἀποδόσθαι Καρχηδονίοις ἑκατὸν καὶ εἴκοσι ταλάντων. ἦν δ' αὐτὸ μὲν ἁλουργές, τῷ δὲ μεγέθει πεντεκαιδεκάπηχυ, ἑκατέρωθεν δὲ διείληπτο ζῳδίοις ἐνυφασμένοις, ἄνωθεν μὲν Σούσοις, κάτωθεν δὲ Πέρσαις· ἀνὰ μέσον δὲ ἦν Ζεύς, Ἥρα, Θέμις, Ἀθηνᾶ, Ἀπόλλων, Ἀφροδίτη. παρὰ δ' ἑκάτερον πέρας Ἀλκιμένης ἦν, ἑκατέρωθεν δὲ Σύβαρις.

Περὶ τὴν ἄκραν τὴν Ἰαπυγίαν φασὶν ἔκ τινος τόπου, 97
ἐν ᾧ συνέβη γενέσθαι, ὡς μυθολογοῦσιν, Ἡρακλεῖ πρὸς γίγαντας μάχην, ῥεῖν ἰχῶρα πολὺν καὶ τοιοῦτον ὥστε διὰ τὸ βάρος τῆς ὀσμῆς ἄπλουν εἶναι τὴν κατὰ τὸν τόπον θάλασσαν. λέγουσι δὲ πολλαχοῦ τῆς Ἰταλίας Ἡρακλέους εἶναι πολλὰ μνημόσυνα ἐν ταῖς ὁδοῖς, ἃς ἐκεῖνος ἐπορεύθη. περὶ δὲ Πανδοσίαν τῆς Ἰαπυγίας ἴχνη τοῦ θεοῦ δείκνυται, ἐφ'
8b ἃ οὐδενὶ ἐπιβατέον. ἔστι καὶ περὶ ἄκραν Ἰαπυγίαν λίθος 98

3 οὖσαν ἐρυθραίου S^a ‖ 8 κάπαν pr. S^a, σκετὸν rc. S^a ‖ 9 φύεσθαι S^a ‖ 10 Athen. 12 p. 541 ‖ ἀντιμένει S^a ‖ 13 τῶν δὲ S^a ‖ 18 Σουσίοις Heyne ‖ 20 ἀλκισθένης S^a ‖ ἑκατέρωθεν\] ἔνθεν ἑκατέρον S^a ‖ 21 Strab. 6 p. 281 ‖ 24 τόπον\] πόντον S^a

ἁμαξιαῖος, ὃν ὑπ' ἐκείνου ἀρθέντα μετατεθῆναί φασιν, ἀφ' ἑνὸς δὲ δακτύλου κινεῖσθαι συμβέβηκεν.

99 Ἐν τῇ τῶν Ὀρχομενίων πόλει τῇ ἐν Βοιωτοῖς φανῆναί φασιν ἀλώπεκα, ἣν κυνὸς διώκοντος εἰσδῦναι εἴς τινα ὑπόνομον, καὶ τὸν κύνα συνεισδῦναι αὐτῇ, καὶ ὑλακτοῦντα ἦχον μέγαν ποιεῖν ὡσανεὶ εὐρυχωρίας τινὸς ὑπαρχούσης αὐτῷ· τοὺς δὲ κυνηγέτας ἔννοιαν λαβόντας δαιμονίαν, ἀναρρήξαντας τὴν εἴσδυσιν συνῶσαι καὶ αὐτούς· ἰδόντας δὲ διά τινων ὀπῶν εἰσερχόμενον ἔσω τὸ φῶς, εὐσυνόπτως τὰ λοιπὰ θεάσασθαι, καὶ ἐλθόντας ἀπαγγεῖλαι τοῖς ἄρχουσιν.

100 Ἐν τῇ Σαρδοῖ τῇ νήσῳ κατασκευάσματά φασιν εἶναι εἰς τὸν Ἑλληνικὸν τρόπον διακείμενα τὸν ἀρχαῖον, ἄλλα τε πολλὰ καὶ καλὰ καὶ θόλους περισσοῖς τοῖς ῥυθμοῖς κατεξεσμένους· τούτους δ' ὑπὸ Ἰολάου τοῦ Ἰφικλέους κατασκευασθῆναι, ὅτε τοὺς Θεσπιάδας τοὺς ἐξ Ἡρακλέους παραλαβὼν ἔπλευσεν εἰς ἐκείνους τοὺς τόπους ἐποικήσων, ὡς κατὰ συγγένειαν αὐτῷ τὴν Ἡρακλέους προσήκοντας διὰ τὸ πάσης τῆς πρὸς ἑσπέραν κύριον Ἡρακλέα γενέσθαι. αὕτη δὲ ἡ νῆσος, ὡς ἔοικεν, ἐκαλεῖτο μὲν πρότερον Ἰχνοῦσσα διὰ τὸ ἐσχηματίσθαι τῇ περιμέτρῳ ὁμοιότατα ἀνθρωπίνῳ ἴχνει, εὐδαίμων δὲ καὶ πάμφορος ἔμπροσθεν λέγεται εἶναι· τὸν γὰρ Ἀρισταῖον, ὅν φασι γεωργικώτατον εἶναι ἐπὶ τῶν ἀρχαίων, τοῦτον αὐτῶν ἄρξαι μυθολογοῦσιν, ὑπὸ μεγάλων ὀρνέων ἔμπροσθεν καὶ πολλῶν κατεχομένων. νῦν μὲν οὖν οὐκέτι φέρει τοιοῦτον οὐδὲν διὰ τὸ κυριευθεῖσαν ὑπὸ Καρχηδονίων ἐκκοπῆναι πάντας τοὺς χρησίμους εἰς προσφορὰν καρπούς, καὶ θάνατον τὴν ζημίαν τοῖς ἐγχωρίοις τετάχθαι, ἐάν τις τῶν τοιούτων τι ἀναφυτεύῃ.

4 ἣν om. S^a ‖ δ' εἰς S^a ‖ 7 αὐτοῦ malebat Sylburg ‖ δαιμονίαν ex marg. illatum putat Heyne ‖ 11 Diod. Sic. 4, 29 ‖ 12 τὴν ἀρχὴν S^a ‖ 13 κατεξυσμένους S^a ‖ 19 ἴχνουσσα S^a ‖ 20 ὁμοιότητι ἀνθρώπων S^a ‖ 23 αὐτῆς Heyne, τῶν τόπων τούτων Casaubonus ‖ 24 κατεχομένης Heyne ‖ 28 τι om. S^a

Ἐν μιᾷ τῶν ἑπτὰ νήσων τῶν Αἰόλου καλουμένων, ἣ ἡ καλεῖται Λιπάρα, τάφον εἶναι μυθολογοῦσι, περὶ οὗ καὶ ἄλλα μὲν πολλὰ καὶ τερατώδη λέγουσι, τοῦτο δ' ὅτι οὐκ ἀσφαλές ἐστι προσελθεῖν πρὸς ἐκεῖνον τὸν τόπον τῆς νυκτός, συμ- 9a φωνοῦσιν· ἐξακούεσθαι γὰρ τυμπάνων καὶ κυμβάλων ἦχον γέλωτά τε μετὰ θορύβου καὶ κροτάλων ἐναργῶς. λέγουσι δέ τι τερατωδέστερον γεγονέναι περὶ τὸ σπήλαιον· πρὸ ἡμέρας γὰρ ἐγκοιμηθῆναί τινα ἐν αὐτῷ οἰνωμένον, καὶ τοῦτον ὑπὸ τῶν οἰκετῶν ζητούμενον ἐφ' ἡμέρας τρεῖς διατελέσαι, τῇ δὲ τετάρτῃ εὑρεθέντα ὡς νεκρὸν ἀποκομισθῆναι ὑπὸ τῶν οἰκείων εἰς τὸν ἴδιον τάφον, καὶ τῶν νομιζομένων τυχόντα πάντων ἐξαίφνης ἀναστῆναι, καὶ διηγεῖσθαι τὰ καθ' ἑαυτὸν συμβεβηκότα. τοῦτο μὲν οὖν ἡμῖν φαίνεται μυθωδέστερον· ὅμως μέντοι ἔδει μὴ παραλιπεῖν ἀμνημόνευτον αὐτό, τῶν περὶ τὸν τόπον ἐκεῖνον τὴν ἀναγραφὴν ποιούμενον. 101

Περὶ τὴν Κύμην τὴν ἐν Ἰταλίᾳ λίμνη ἐστὶν ἡ προσαγορευομένη ἄορνος, αὐτὴ μέν, ὡς ἔοικεν, οὐκ ἔχουσά τι θαυμαστόν· περικεῖσθαι γὰρ λέγουσι περὶ αὐτὴν λόφους κύκλῳ, τὸ ὕψος οὐκ ἐλάσσους τριῶν σταδίων, καὶ αὐτὴν εἶναι τῷ σχήματι κυκλοτερῆ, τὸ βάθος ἔχουσαν ἀνυπέρβλητον. ἐκεῖνο δὲ θαυμάσιον φαίνεται· ὑπερκειμένων γὰρ αὐτῇ πυκνῶν δένδρων, καί τινων ἐν αὐτῇ κατακεκλιμένων, οὐδὲν ἔστιν ἰδεῖν φύλλον ἐπὶ τοῦ ὕδατος ἐφεστηκός, ἀλλ' οὕτω καθαρώτατόν ἐστι τὸ ὕδωρ ὥστε τοὺς θεωμένους θαυμάζειν. περὶ δὲ τὴν ἀπέχουσαν ἤπειρον αὐτῆς οὐ πολὺ θερμὸν ὕδωρ πολλαχόθεν ἐκπίπτει, καὶ ὁ τόπος ἅπας καλεῖται Πυριφλεγέθων. ὅτι δὲ οὐδὲν διίπταται ὄρνεον αὐτήν, ψεῦδος· οἱ γὰρ παραγενόμενοι λέγουσι πλῆθός τι κύκνων ἐν αὐτῇ γίνεσθαι. 102

Φασὶ τὰς Σειρηνούσας νήσους κεῖσθαι μὲν ἐν τῇ Ἰταλίᾳ 103

16 Antig. c. 152. Sotion c. 28. Strab. 5 p. 244. Plin. 31, 2 ‖ ἐν τῇ ἰταλία Sa ‖ 25 δὲ] γὰρ Sa ‖ 30 Steph. Byz. s. v. Σειρηνοῦσσαι

περὶ τὸν πορθμὸν ἐπ' αὐτῆς τῆς ἄκρας, ὃς κεῖται πρὸ τοῦ προπεπτωκότος τόπου καὶ διαλαμβάνοντος τοῖς κόλποις τόν τε περιέχοντα τὴν Κύμην καὶ τὸν διειληφότα τὴν καλουμένην Ποσειδωνίαν· ἐν ᾧ καὶ νεὼς αὐτῶν ἵδρυται, καὶ τιμῶνται καθ' ὑπερβολὴν ὑπὸ τῶν περιοίκων θυσίαις ἐπιμελῶς· ὧν καὶ τὰ ὀνόματα μνημονεύοντες καλοῦσι τὴν μὲν Παρθενόπην, τὴν δὲ Λευκωσίαν, τὴν δὲ τρίτην Λίγειαν.

.04 *Λέγεται δὲ μεταξὺ τῆς Μεντορικῆς καὶ τῆς Ἰστριανῆς ὄρος τι εἶναι τὸ καλούμενον Δέλφιον, ἔχον λόφον ὑψηλόν.* 839b *ἐπὶ τοῦτον τὸν λόφον ὅταν ἀναβαίνωσιν οἱ Μέντορες οἱ ἐπὶ τοῦ Ἀδρίου οἰκοῦντες, ἀποθεωροῦσιν, ὡς ἔοικε, τὰ εἰς τὸν Πόντον εἰσπλέοντα πλοῖα. εἶναι δὲ καί τινα τόπον ἐν τοῖς ἀνὰ μέσον διαστήμασιν, εἰς ὃν ἀγορᾶς κοινῆς γινομένης πωλεῖσθαι παρὰ μὲν τῶν ἐκ τοῦ Πόντου ἐμπόρων ἀναβαινόντων τὰ Λέσβια καὶ Χῖα καὶ Θάσια, παρὰ δὲ τῶν ἐκ τοῦ Ἀδρίου τοὺς Κερκυραϊκοὺς ἀμφορεῖς.*

.05 *Φασὶ δὲ καὶ τὸν Ἴστρον ῥέοντα ἐκ τῶν Ἑρκυνίων καλουμένων δρυμῶν σχίζεσθαι, καὶ τῇ μὲν εἰς τὸν Πόντον ῥεῖν, τῇ δὲ εἰς τὸν Ἀδρίαν ἐκβάλλειν. σημεῖον δὲ οὐ μόνον ἐν τοῖς νῦν καιροῖς ἑωράκαμεν, ἀλλὰ καὶ ἐπὶ τῶν ἀρχαίων μᾶλλον, οἷον τὰ ἐκεῖ ἄπλωτα εἶναι· καὶ γὰρ Ἰάσονα τὸν μὲν εἴσπλουν κατὰ Κυανέας, τὸν δὲ ἐκ τοῦ Πόντου ἔκπλουν κατὰ τὸν Ἴστρον ποιήσασθαί φασι· καὶ φέρουσιν ἄλλα τε τεκμήρια οὐκ ὀλίγα, καὶ κατὰ μὲν τὴν χώραν βωμοὺς ὑπὸ τοῦ Ἰάσονος ἀνακειμένους δεικνύουσιν, ἐν δὲ μιᾷ τῶν νήσων τῶν ἐν τῷ Ἀδρίᾳ πολυτελὲς ἱερὸν Ἀρτέμιδος*

1 ὃς *κεῖται* delebat Heyne ‖ 2 *διακυμαίνοντας* vulgo ‖ *τοὺς κόλπους* Salmasius: *τοῖς κόλποις* codd. ‖ 3 *καλουμένην ποσειδωνίαν* S^a: *ποσειδωνίαν καλουμένην* ceteri ‖ 8 Strabo 7 p. 317 ‖ 12 *ἐκπλέοντα* S^a ‖ 17 Arist. hist. an. 598b 16 sqq. Strab. 1 p. 57. Eust. ad Dionys. perieg. v. 299 ‖ 19 *σημεῖον* — 21 *εἶναι* ex marg. illata putat Heyne ‖ 21 pro *οἷον* fort. *ὅσον* scribendum suspicatur Bonitz ind. Arist. 502a 24, *τοῦ τὰ ἐκεῖ ἄπλωτα μὴ εἶναι* Casaubonus ‖ 26 *πολυτελὲς* om. Bekker

ὑπὸ Μηδείας ἱδρυμένον. ἔτι δὲ λέγουσιν ὡς οὐκ ἂν παρέπλευσε τὰς Πλαγκτὰς καλουμένας, εἰ μὴ ἐκεῖθεν ἀπέπλει. καὶ ἐν τῇ Αἰθαλείᾳ δὲ νήσῳ, τῇ κειμένῃ ἐν τῷ Τυρρηνικῷ πελάγει, ἄλλα τε δεικνύουσι μνημεῖα τῶν ἀριστέων καὶ τὸ ἐπὶ τῶν ψήφων δὲ λεγόμενον· παρὰ γὰρ τὸν αἰγιαλὸν ψήφους φασὶν εἶναι ποικίλας, ταύτας δ' οἱ Ἕλληνες οἱ τὴν νῆσον οἰκοῦντες λέγουσι τὴν χροιὰν λαβεῖν ἀπὸ τῶν στλεγγισμάτων ὧν ἐποιοῦντο ἀλειφόμενοι· ἀπὸ ἐκείνων γὰρ τῶν χρόνων οὔτε πρότερον ἑωρᾶσθαι μυθολογοῦσι τοιαύτας ψήφους οὔθ' ὕστερον ἐπιγενομένας. ἔτι δὲ τούτων φανερώτερα σημεῖα λέγουσιν, ὅτι οὐ διὰ τῶν Συμπληγάδων ἐγένετο ὁ ἔκπλους, αὐτῷ τῷ ποιητῇ ἐν ἐκείνοις τοῖς τόποις μάρτυρι χρώμενοι. τὴν γὰρ δυσχέρειαν τοῦ κινδύνου ἐμφανίζοντα λέγειν ὅτι οὐκ ἔστι παραπλεῦσαι τὸν τόπον,

ἀλλά θ' ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν
κύμαθ' ἁλὸς φορέουσι πυρός τ' ὀλοοῖο θύελλαι.

0ª περὶ μὲν οὖν τὰς Κυανέας οὐ λέγεται πῦρ ἀνάπτειν, περὶ δὲ τὸν πορθμὸν τὸν διαλαμβάνοντα τὴν Σικελίαν, ἐφ' ἑκάτερα κειμένων τῶν τοῦ πυρὸς ἀναφυσημάτων, καὶ τῆς τε νήσου συνεχῶς καιομένης, καὶ τοῦ περὶ τὴν Αἴτνην ῥεύματος πολλάκις τὴν χώραν ἐπιδεδραμηκότος.

Ἐν Τάραντι ἐναγίζειν κατά τινας χρόνους φασὶν Ἀτρείδαις καὶ Τυδείδαις καὶ Αἰακίδαις καὶ Λαερτιάδαις, καὶ Ἀγαμεμνονίδαις δὲ χωρὶς θυσίαν ἐπιτελεῖν ἐν ἄλλῃ ἡμέρᾳ ἰδίᾳ, ἐν ᾗ νόμιμον εἶναι ταῖς γυναιξὶ μὴ γεύσασθαι τῶν ἐκείνοις θυομένων. ἔστι δὲ καὶ Ἀχιλλέως νεὼς παρ' αὐτοῖς. λέγεται δὲ μετὰ τὸ παραλαβεῖν τοὺς Ταραντίνους Ἡράκλειαν 106

2 πλακτὰς Sª ‖ 3 αἰγιαλεία Sª ‖ 10 ἔστι Sª ‖ φανερώτερα Bekker: φανερώτατα codd. ‖ 11 συμπλογάδων Sª ‖ 12 ἐν] οἱ ἐν Sª ‖ 15 Od. 12, 67 sq. ‖ 17 ἀνάπτειν unus Bekk. cod. (Nª) cf. 841ª 32: ἀναπέμπειν ceteri. An ἀναπνεῖν? ‖ 19 τῶν om. Sª ‖ 26 'Herculis' Natalis de Comitibus ‖ 27 μετὰ τὸ] πρὸ τοῦ 'antequam' malebat Sylburg ‖ παραβαλεῖν Casaubonus

τὸν τόπον καλεῖσθαι, ὃν νῦν κατοικοῦσιν, ἐν δὲ τοῖς ἄνω χρόνοις τῶν Ἰώνων κατεχόντων Πλεῖον· ἔτι δὲ ἐκείνων ἔμπροσθεν ὑπὸ τῶν Τρώων τῶν κατασχόντων αὐτὴν Σίγειον
107 ὠνομάσθαι. παρὰ δὲ τοῖς Συβαρίταις λέγεται Φιλοκτήτην τιμᾶσθαι. κατοικῆσαι γὰρ αὐτὸν ἐκ Τροίας ἀνακομισθέντα τὰ καλούμενα Μάκαλλα τῆς Κροτωνιάτιδος, ἅ φασιν ἀπέχειν ἑκατὸν εἴκοσι σταδίων, καὶ ἀναθεῖναι ἱστοροῦσι τὰ τόξα τὰ Ἡράκλεια αὐτὸν εἰς τὸ τοῦ Ἀπόλλωνος τοῦ ἁλίου. ἐκεῖθεν δέ φασι τοὺς Κροτωνιάτας κατὰ τὴν ἐπικράτειαν ἀναθεῖναι αὐτὰ εἰς τὸ Ἀπολλώνιον τὸ παρ' αὐτοῖς. λέγεται δὲ καὶ τελευτήσαντα ἐκεῖ κεῖσθαι αὐτὸν παρὰ τὸν ποταμὸν τὸν Σύβαριν, βοηθήσαντα Ῥοδίοις τοῖς μετὰ Τληπολέμου εἰς τοὺς ἐκεῖ τόπους ἀπενεχθεῖσι καὶ μάχην συνάψασι πρὸς τοὺς ἐνοικοῦντας τῶν βαρβάρων ἐκείνην τὴν χώραν.

108 Περὶ δὲ τὴν Ἰταλίαν τὴν καλουμένην Γαργαρίαν, ἐγγὺς Μεταποντίου, Ἀθηνᾶς ἱερὸν εἶναί φασιν Εἰλενίας, ἔνθα τὰ τοῦ Ἐπειοῦ λέγουσιν ἀνακεῖσθαι ὄργανα, ἃ εἰς τὸν δούρειον ἵππον ἐποίησεν, ἐκείνου τὴν ἐπωνυμίαν ἐπιθέντος. φανταζομένην γὰρ αὐτῷ τὴν Ἀθηνᾶν κατὰ τὸν ὕπνον ἀξιοῦν ἀναθεῖναι τὰ ὄργανα, καὶ διὰ τοῦτο βραδυτέρας τυγχάνοντα τῆς ἀναγωγῆς εἰλεῖσθαι ἐν τῷ τόπῳ, μὴ δυνάμενον ἐκπλεῦσαι· ὅθεν Εἰλενίας Ἀθηνᾶς τὸ ἱερὸν προσαγορεύεσθαι.

109 Λέγεται περὶ τὸν ὀνομαζόμενον τῆς Δαυνίας τόπον ἱερὸν 84
εἶναι Ἀθηνᾶς Ἀχαΐας καλούμενον, ἐν ᾧ δὴ πελέκεις χαλκοῦς καὶ ὅπλα τῶν Διομήδους ἑταίρων καὶ αὐτοῦ ἀνακεῖσθαι. ἐν τούτῳ τῷ τόπῳ φασὶν εἶναι κύνας, οἳ τοὺς ἀφικνουμένους

2 *Χώνων* Cluver ‖ *Πολίειον* Salmasius ‖ 3 *Τρώων τῶν*] *πρώτων* unus Bekk. ‖ *Σῖριν* Holsten, *Σεῖριν* Salmasius ‖ 6 *Μάκαλλα* Holsten: *Μύκαλλα* S^a, *μαλακὰ* alii ‖ 8 *ἁλίου*] *Ἀλαίου* Wesseling ‖ 15 *τῆς Ἰταλίας* malebat Sylburg ‖ *Γαργαρίαν* codd.: *Καλαβρίαν* interpretes ‖ 16 et 22 *Εἰλενίας* Hemsterhuis: *Ἑλληνίας* codd. ‖ 17 *ἃ εἰς*] *οἷς* Lipsius ‖ 21 *εἰλεῖσθαι* S^a ‖ 22 *προσαγορεύεται* S^a ‖ 23 Strab. 6 p. 284. Dion. Hal. antiqu. rom. 1, 72. Plut. de virtute mul. s. *Τρῳάδες*

τῶν Ἑλλήνων οὐκ ἀδικοῦσιν, ἀλλὰ σαίνουσιν ὥσπερ τοὺς συνηθεστάτους. πάντες δὲ οἱ Δαύνιοι καὶ οἱ πλησιόχωροι αὐτοῖς μελανειμονοῦσι, καὶ ἄνδρες καὶ γυναῖκες, διὰ ταύτην, ὡς ἔοικε, τὴν αἰτίαν. τὰς γὰρ Τρῳάδας τὰς ληφθείσας αἰχμαλώτους καὶ εἰς ἐκείνους τοὺς τόπους ἀφικομένας, εὐλαβηθείσας μὴ πικρᾶς δουλείας τύχωσιν ὑπὸ τῶν ἐν ταῖς πατρίσι προϋπαρχουσῶν τοῖς Ἀχαιοῖς γυναικῶν, λέγεται τὰς ναῦς αὐτῶν ἐμπρῆσαι, ἵν' ἅμα μὲν τὴν προσδοκωμένην δουλείαν ἐκφύγωσιν, ἅμα δ' ὅπως μετ' ἐκείνων μένειν ἀναγκασθέντων συναρμοσθεῖσαι κατάσχωσιν αὐτοὺς ἄνδρας. πάνυ δὲ καὶ τῷ ποιητῇ καλῶς πέφρασται περὶ αὐτῶν· ἑλκεσιπέπλους γὰρ καὶ βαθυκόλπους κἀκείνας, ὡς ἔοικεν, ἰδεῖν ἔστιν.

110 Ἐν δὲ τοῖς Πευκετίνοις εἶναί φασιν Ἀρτέμιδος ἱερόν, ἐν ᾧ τὴν διωνομασμένην ἐν ἐκείνοις τοῖς τόποις χαλκῆν ἕλικα ἀνακεῖσθαι λέγουσιν, ἔχουσαν ἐπίγραμμα "Διομήδης Ἀρτέμιδι". μυθολογεῖται δ' ἐκεῖνον ἐλάφῳ περὶ τὸν τράχηλον περιθεῖναι, τὴν δὲ περιφῦναι, καὶ τοῦτον τὸν τρόπον εὑρισκομένην ὑπὸ Ἀγαθοκλέους ὕστερον τοῦ βασιλέως Σικελιωτῶν εἰς τὸ τοῦ Διὸς ἱερὸν ἀνατεθῆναί φασιν.

111 Ἐν τῇ ἄκρᾳ τῆς Σικελίας τῇ καλουμένῃ Πελωριάδι τοσοῦτον γίνεσθαι κρόκον, ὥστε παρὰ τισὶ μὲν τῶν ἐν ἐκείνοις τοῖς τόποις κατοικούντων μὴ γνωρίζεσθαι Ἑλλήνων ποῖόν τί ἐστι τὸ ἄνθος, ἐπὶ δὲ τῆς Πελωριάδος ἁμάξας κατακομίζειν μεγάλας τοὺς βουλομένους, καὶ κατὰ τὴν ἐαρινὴν ὥραν τὰς στρωμνὰς καὶ τὰς σκηνὰς ἐκ κρόκου κατασκευάζειν.

112 Φησὶν εἶναι ὁ Πολύκριτος ὁ τὰ Σικελικὰ γεγραφὼς ἐν ἔπεσιν ἔν τινι τόπῳ τῆς μεσογείου λιμνίον τι ἔχον ὅσον

6 τοῖς πατρίσι τοῖς ἀχαιοῖς προϋπαρχουσῶν S^a || 10 συναρμοσθεῖναι S^a || 14 πευκεντίνοις S^a || 20 τοῦ Διὸς] τῆς θεοῦ F. C. Matthiae || 22 τοιοῦτον F. C. Matthiae || κρόκκον S^a 25 τοῖς βουλομένοις tres Bekk. codd. || 26 κρόκκου S^a || 27 Sotion c. 30 || εἶναι om. S^a || 28 μεσογείου ἐστὶ λιμνηόν S^a

ἀσπίδος τὸ περίμετρον, τοῦτο δ' ἔχει ὕδωρ διαυγὲς μέν, μικρῷ δὲ θολερώτερον. εἰς τοῦτ' οὖν ἐάν τις εἰσβῇ λούσασθαι χρείαν ἔχων, αὔξεται εἰς εὖρος, ἐὰν δὲ καὶ δεύτερος, 841 μᾶλλον πλατύνεται· τὸ δὲ πέρας ἕως εἰς πεντήκοντα ἀνδρῶν ὑποδοχὴν μεῖζον γενόμενον διευρύνεται. ἐπειδὰν δὲ τοῦτον τὸν ἀριθμὸν λάβῃ, ἐκ βάθους πάλιν ἀνοιδοῦν ἐκβάλλειν μετέωρα τὰ σώματα τῶν λουομένων ἔξω ἐπὶ τὸ ἔδαφος· ὡς δ' ἂν τοῦτο γένηται, εἰς τὸ ἀρχαῖον πάλιν σχῆμα τῆς περιμέτρου καθίσταται. οὐ μόνον δ' ἐπὶ ἀνθρώπων τοῦτο περὶ αὐτὸ γίνεται, ἀλλὰ καὶ ἐάν τι τετράπουν εἰσβῇ, τὸ αὐτὸ

113 πάσχει. ἐν δὲ τῇ ἐπικρατείᾳ τῶν Καρχηδονίων φασὶν ὄρος εἶναι, ὃ καλεῖται Οὐράνιον, παντοδαπῆς μὲν ὕλης γέμον, πολλοῖς δὲ διαπεποικιλμένον ἄνθεσιν, ὥστε τοὺς συνεχεῖς τόπους ἐπὶ πολὺ μεταλαμβάνοντας τῆς εὐωδίας αὐτοῦ ἡδίστην τινὰ τοῖς ὁδοιποροῦσι προσβάλλειν τὴν ἀναπνοήν. πρὸς δὴ τοῦτον τὸν τόπον κρήνην ἐλαίου φασὶν εἶναι, τὴν δὲ ὀσμὴν ἔχειν τῆς κέδρου τοῖς ἀποπτίσμασιν ὁμοίαν. δεῖν δέ φασι τὸν προσιόντα πρὸς αὐτὴν ἁγνὸν εἶναι, καὶ τούτου γινομένου πλεῖον ἀναβλύζειν αὐτὴν τὸ ἔλαιον, ὥστε ἀσφαλῶς

114 ἀρύεσθαι. φασὶ καὶ ταύτης τῆς κρήνης πλησίον εἶναί τινα πέτραν αὐτοφυῆ, μεγάλην τῷ μεγέθει. ταύτην οὖν λέγουσιν, ἐπειδὰν μὲν ᾖ θέρος, φλόγα ἀναπέμπειν πυρός, χειμῶνος δὲ γενομένου ἐκ τοῦ αὐτοῦ τόπου κρουνὸν ὕδατος ἀναρραίνειν οὕτω ψυχροῦ ὥστε χιόνι συμβαλλόμενον μηδὲν διαφέρειν. καὶ τοῦτό φασιν οὐκ ἀπόκρυφον οὐδὲ μικρὸν χρόνον φαίνεσθαι, ἀλλὰ τὸ μὲν πῦρ ἀνιέναι τὴν θερείαν ὅλην, τὸ δὲ ὕδωρ πάντα τὸν χειμῶνα.

2 *θολώτερον* Sᵃ ‖ *ἂν* Sᵃ ‖ 3 *δεύτερος* Sylburg: *δεύτερον* codd., vulgo ‖ 5 *διευρύνεσθαι* Sᵃ ‖ 10 *ἂν* Sᵃ ‖ 11 Sotion c. 29. Antig. c. 139. Athen. 2 p. 42 E. Vitruv. 8, 3 ‖ 16 *κρήνας* Sᵃ ‖ 17 *ἀποπτύσμασιν* Sᵃ, *ἀποπρίσμασι* proponebat Sylburg ‖ 19 *ἀσφαλῶς αὐτὴν ἀρύεσθαι* Sᵃ ‖ 20 Solin. c. 5 ‖ 27 *χειμῶνα εἶναι* Sᵃ ‖ post *χειμῶνα* Sᵃ c. 130—137

Λέγεται δὲ καὶ περὶ τὴν τῶν Σιντῶν καὶ Μαιδῶν χώραν 115
καλουμένην τῆς Θρᾴκης ποταμόν τινα εἶναι Πόντον προσ-
αγορευόμενον, ἐν ᾧ καταφέρεσθαί τινας λίθους, οἳ καίονται
καὶ τοὐναντίον πάσχουσι τοῖς ἐκ τῶν ξύλων ἄνθραξι· ῥιπι-
ζόμενοι γὰρ σβέννυνται ταχέως, ὕδατι δὲ ῥαινόμενοι ἀνα-
λάμπουσι καὶ ἀνάπτουσι κάλλιον. παραπλησίαν δὲ ἀσφάλτῳ,
ὅταν καίωνται, καὶ πονηρὰν οὕτως ὀσμὴν καὶ δριμεῖαν
ἔχουσιν ὥστε μηδὲν τῶν ἑρπετῶν ὑπομένειν ἐν τῷ τόπῳ
καιομένων αὐτῶν. εἶναι δέ φασι καὶ τόπον τινὰ παρ' 116
αὐτοῖς οὐ λίαν μικρόν, ἀλλ' ὡς ἂν εἴκοσί που σταδίων, ὃς
φέρει κριθάς, αἷς οἱ μὲν ἄνθρωποι χρῶνται, οἱ δ' ἵπποι
καὶ βόες οὐκ ἐθέλουσιν αὐτὰς ἐσθίειν, οὐδ' ἄλλο οὐδέν.
ἀλλ' οὐδὲ τῶν ὑῶν οὐδὲ τῶν κυνῶν οὐδεμία τολμᾷ γεύ-
σασθαι τῆς κόπρου τῶν ἀνθρώπων, οἵτινες ἂν ἐκ τῶν κρι-
θῶν τούτων μᾶζαν φαγόντες ἢ ἄρτον ἀφοδεύωσι, τῷ θνήσκειν.

Ἐν δὲ Σκοτούσαις τῆς Θετταλίας φασὶν εἶναι κρηνί- 117
διόν τι μικρόν, ἐξ οὗ ῥεῖ τοιοῦτον ὕδωρ, ὃ τὰ μὲν ἕλκη καὶ θλάσματα ταχέως ὑγιεινὰ ποιεῖ καὶ τῶν ἀνθρώπων καὶ τῶν ὑποζυγίων, ἐὰν δέ τις ξύλον μὴ παντάπασι συντρίψας ἀλλὰ σχίσας ἐμβάλῃ, συμφύεται καὶ πάλιν εἰς τὸ αὐτὸ καθίσταται.

Περὶ δὲ τὴν Θρᾴκην τὴν ὑπὲρ Ἀμφίπολιν φασὶ γίνε- 118
σθαί τι τερατῶδες καὶ ἄπιστον τοῖς μὴ τεθεαμένοις. ἐξιόντες γὰρ οἱ παῖδες ἐκ τῶν κωμῶν καὶ τῶν ἐγγὺς χωρίων ἐπὶ θήραν τῶν ὀρνιθαρίων συνθηρεύειν παραλαμβάνουσι

1 Antig. c. 136. Steph. Byz. s. v. Σιντία. Plin. 33, 5. 36, 19 ‖ δὲ καὶ om. S^a ‖ παρὰ τῇ pr. S^a ‖ Μαιδῶν Sylburg: μεδῶν codd. ‖ περὶ τὴν χ. τῆς Θρ. καλ. τῶν Σ. καὶ Μ. Heyne ‖ χώρα καλουμένη pr. S^a ‖ 2 προσονομαζόμενον S^a, vulgo ‖ 5 ὕδατι] αἵματι rc. S^a ‖ 10 που om. S^a ‖ 13 οἰῶν S^a ‖ οὐδὲ τῶν κυνῶν delebat Schneider ‖ 15 τῷ θνήσκειν in suspicionem vocat Heyne ‖ 16 Antig. c. 142. Sotion c. 9. Plin. 31, 2 ‖ 20 καθίστησιν S^a ‖ 22 Arist. hist. an. 620a 33 sqq. Antig. c. 28. Plin. 10, 8 ‖ Ἀμφίπολιν] Cedropolin vocant Aristoteles, Antigonus ‖ γενέσθαι S^a ‖ 23 τι om. S^a

τοὺς ἱέρακας, καὶ τοῦτο ποιοῦσιν οὕτως. ἐπειδὰν προέλθωσιν εἰς τόπον ἐπιτήδειον, καλοῦσι τοὺς ἱέρακας ὀνομαστὶ κεκραγότες· οἱ δ' ὅταν ἀκούσωσι τῶν παίδων τὴν φωνήν, παραγινόμενοι κατασοβοῦσι τοὺς ὄρνιθας· οἱ δὲ δεδιότες ἐκείνους καταφεύγουσιν εἰς τοὺς θάμνους, ὅπου αὐτοὺς οἱ παῖδες ξύλοις τύπτοντες λαμβάνουσιν. ὃ δὲ πάντων ἄν τις μάλιστα θαυμάσειεν· οἱ μὲν γὰρ ἱέρακες ὅταν αὐτοί τινα λάβωσι τῶν ὀρνίθων, καταβάλλουσι τοῖς θηρεύουσιν, οἱ δὲ παῖδες ἁπάντων τῶν ἁλόντων μέρος τι τοῖς ἱέραξιν ἀποδόντες ἀπέρχονται.

119 *Θαυμαστὸν δέ τι καὶ παρὰ τοῖς Ἐνετοῖς φασὶ γίνεσθαι. ἐπὶ γὰρ τὴν χώραν αὐτῶν πολλάκις κολοιῶν ἀναριθμήτους μυριάδας ἐπιφέρεσθαι καὶ τὸν σῖτον αὐτῶν σπειράντων καταναλίσκειν· οἷς τοὺς Ἐνετοὺς πρὸ τοῦ ἐφίπτασθαι μέλλειν ἐπὶ τὰ μεθόρια τῆς γῆς προτιθέναι δῶρα, παντοδαπῶν καρπῶν καταβάλλοντας σπέρματα, ὧν ἐὰν μὲν γεύσωνται οἱ κολοιοί, οὐχ ὑπερβαίνουσιν ἐπὶ τὴν χώραν αὐτῶν, ἀλλ' οἴδασιν οἱ Ἐνετοὶ ὅτι ἔσονται ἐν εἰρήνῃ· ἐὰν δὲ μὴ γεύσωνται, ὡσεὶ πολεμίων ἔφοδον αὐτοῖς γινομένην, οὕτω προσδοκῶσιν.*

120 *Ἐν δὲ τῇ Χαλκιδικῇ τῇ ἐπὶ Θρᾴκης πλησίον Ὀλύνθου φασὶν εἶναι Κανθαρώλεθρον ὀνομαζόμενον τόπον, μικρῷ μείζονα τὸ μέγεθος ἅλω, εἰς ὃν τῶν μὲν ἄλλων ζῴων ὅταν τι ἀφίκηται, πάλιν ἀπέρχεται, τῶν δὲ κανθάρων τῶν ἐλθόντων οὐδείς, ἀλλὰ κύκλῳ περιιόντες τὸ χωρίον λιμῷ τελευτῶσιν.*

121 *Ἐν δὲ Κύκλωψι τοῖς Θρᾳξὶ κρηνίδιόν ἐστιν ὕδωρ ἔχον,*

1 *προσέλθωσιν* S^a ‖ 6 *λήψωσιν* S^a ‖ 11 Antig. c. 173. Ael. 17, 16. Apostol. prov. 1, 54 ‖ 18 *οἰχήσονται* rc. S^a ‖ 21 Antig. c. 14. Plin. 11, 28 ‖ 22 *κανθαρόλεθρον* S^a ‖ 23 *μεῖζον* S^a ‖ 24 *ἐπανέρχεται* rc. S^a ‖ 27 Antig. c. 141. Sotion c. 15. Plin. 31, 2 ‖ *Κιγχρώψωσιν* Antigonus, *Χρωψὶ* Sotion, *Κύγχρωψι* Harduin, *Κίχρωψι* seu *Κίγχρωψι* Sylburg

ὃ τῇ μὲν ὄψει καθαρὸν καὶ διαφανὲς καὶ τοῖς ἄλλοις ὅμοιον, ὅταν δὲ πίῃ τι ζῷον ἐξ αὐτοῦ, παραχρῆμα διαφθείρεται.

122 Φασὶ δὲ καὶ ἐν τῇ Κραστωνίᾳ παρὰ τὴν Βισαλτῶν χώραν τοὺς ἁλισκομένους λαγὼς δύο ἥπατα ἔχειν, καὶ τόπον τινὰ εἶναι ὅσον πλεθριαῖον, εἰς ὃν ὅ τι ἂν εἰσέλθῃ ζῷον ἀποθνήσκει. ἔστι δὲ καὶ ἄλλο αὐτόθι ἱερὸν Διονύσου μέγα καὶ καλόν, ἐν ᾧ τῆς ἑορτῆς καὶ τῆς θυσίας οὔσης λέγεται, ὅταν μὲν ὁ θεὸς εὐετηρίαν μέλλῃ ποιεῖν, ἐπιφαίνεσθαι μέγα σέλας πυρός, καὶ τοῦτο πάντας ὁρᾶν τοὺς περὶ τὸ τέμενος διατρίβοντας, ὅταν δ' ἀκαρπίαν, μὴ φαίνεσθαι τοῦτο τὸ φῶς, ἀλλὰ σκότος ἐπέχειν τὸν τόπον ὥσπερ καὶ τὰς ἄλλας νύκτας.

123 Ἐν Ἤλιδι λέγουσιν εἶναί τι οἴκημα σταδίους ἀπέχον ὀκτὼ μάλιστα τῆς πόλεως, εἰς ὃ τιθέασι τοῖς Διονυσίοις λέβητας χαλκοῦς τρεῖς κενούς. τοῦτο δὲ ποιήσαντες παρακαλοῦσι τῶν Ἑλλήνων τῶν ἐπιδημούντων τὸν βουλόμενον ἐξετάσαι τὰ ἀγγεῖα καὶ τοῦ οἴκου κατασφραγίζεσθαι τὰς θύρας. καὶ ἐπειδὰν μέλλωσιν ἀνοίγειν, ἐπιδείξαντες τοῖς πολίταις καὶ τοῖς ξένοις τὰς σφραγῖδας, οὕτως ἀνοίγουσιν. οἱ δ' εἰσελθόντες εὑρίσκουσι τοὺς μὲν λέβητας οἴνου πλήρεις, τὸ δὲ ἔδαφος καὶ τοὺς τοίχους ὑγιεῖς, ὥστε μηδεμίαν εἶναι ὑποψίαν λαβεῖν ὡς τέχνῃ τινὶ κατασκευάζουσιν. εἶναι δέ φασι παρ' αὐτοῖς καὶ ἰκτίνους, οἳ παρὰ μὲν τῶν διὰ 2b τῆς ἀγορᾶς τὰ κρέα φερόντων ἁρπάζουσι, τῶν δὲ ἱεροθύτων οὐχ ἅπτονται.

124 Ἐν Κορωνείᾳ δὲ τῆς Βοιωτίας λέγεται τοὺς ἀσπάλακας

4 Arist. hist. an. 507a 16 sq. part. an. 669b 34 sqq. Ael. 5, 27 ‖ κροτωνία Sa, Κρηστωνίᾳ Sylburg, Γρηστωνίᾳ Th. de Pinedo ‖ περὶ Heyne ‖ 12 ὥσπερ] ὡς Sa ‖ 14 Apoll. hist. mir. c. 10. Paus. 6, 26. 5, 14 ‖ 21 οἱ δ' εἰσελθόντες εὑρίσκουσι om. Sa ‖ 27 Arist. hist. an. 605b 31. Antig. c. 10. Ael. 17, 10. Plin. 8, 58 ‖ κορωνία Sa

τὰ ζῷα μὴ δύνασθαι ζῆν μηδ' ὀρύσσειν τὴν γῆν, τῆς λοιπῆς Βοιωτίας πολὺ πλῆθος ἐχούσης.

125 Ἐν Λουσοῖς δὲ τῆς Ἀρκαδίας κρήνην εἶναί τινά φασιν, ἐν ᾗ χερσαῖοι μύες γίνονται καὶ κολυμβῶσι, τὴν δίαιταν ἐν ἐκείνῃ ποιούμενοι. λέγεται δ' αὐτὸ τοῦτο καὶ ἐν Λαμψάκῳ εἶναι.

126 Ἐν δὲ Κράννωνι τῆς Θετταλίας φασὶ δύο κόρακας εἶναι μόνους ἐν τῇ πόλει. οὗτοι ὅταν ἐκνεοττεύσωσιν, ἑαυτοὺς μέν, ὡς ἔοικεν, ἐκτοπίζουσιν, ἑτέρους δὲ τοσούτους τῶν ἐξ αὐτῶν γενομένων ἀπολείπουσιν.

127 Ἐν δὲ Ἀπολλωνίᾳ τῇ πλησίον κειμένῃ τῆς τῶν Ἀτλαντίνων χώρας φασὶ γίγνεσθαι ἄσφαλτον ὀρυκτὴν καὶ πίσσαν, τὸν αὐτὸν τρόπον ἐκ τῆς γῆς ἀναπηδῶσαν τοῖς ὕδασιν, οὐδὲν διαφέρουσαν τῆς Μακεδονικῆς, μελαντέραν δὲ καὶ παχυτέραν πεφυκέναι ἐκείνης. οὐ πόρρω δὲ τούτου τοῦ χωρίου πῦρ ἐστὶ καιόμενον πάντα τὸν χρόνον, ὥς φασιν οἱ κατοικοῦντες περὶ τὴν χώραν ἐκείνην. ὁ δὲ καιόμενος τόπος ἐστὶν οὐ πολύς, ὡς ἔοικεν, ἀλλ' ὅσον μάλιστα πεντακλίνου τὸ μέγεθος. ὄζει δὲ θείου καὶ στυπτηρίας, καὶ πέφυκε περὶ αὐτὸν πόα τε βαθεία, ὃ καὶ θαυμάσειεν ἄν τις μάλιστα, καὶ δένδρα μεγάλα, οὐκ ἀπέχοντα τοῦ πυρὸς πήχεις τέσσαρας. καίεται δὲ συνεχῶς περὶ Λυκίαν καὶ Μεγάλην πόλιν τὴν ἐν Πελοποννήσῳ.

128 Λέγεται δὲ καὶ ἐν Ἰλλυριοῖς τίκτειν τὰ βοσκήματα δὶς τοῦ ἐνιαυτοῦ, καὶ τὰ πλεῖστα διδυμοτοκεῖν, καὶ πολλὰ δὲ τρεῖς ἢ τέσσαρας ἐρίφους τίκτειν, ἔνια δὲ καὶ πέντε καὶ

1 τὸ ζῷον S^a. pro gloss. habet Heyne ‖ 3 Antig. c. 137. Sotion c. 10. Plin. 31, 2 ‖ Λουσοῖς Sylburg: κολούσοις codd. ‖ 7 Arist. hist. an. 618ᵇ 9 sqq. Antig. c. 15. Steph. Byz. s. v. Κράνων. Plin. 10, 12. Ael. 2, 49 et 7, 18 cf. c. 137 huius libri ‖ 11 Ael. var. hist. 13, 16. Vitr. 8, 3. cf. c. 36 ‖ πλησίαν S^a ‖ ἀτλαντικῶν S^a, Ἀτιντάνων Holsten, Ταυλαντίων Brodaeus ‖ 18 ὅσος S^a ‖ 20 ὃ καὶ] 'malim καὶ ὃ vel ὅ τε' Sylburg ‖ 24 Steph. Byz. s. v. Ἀδρία ‖ 26 τέτταρας S^a ‖ ἔνιοι S^a

πλείους, ἔτι δὲ γάλακτος ἀφιέναι ῥᾳδίως τρία ἡμίχοα. λέ-
γουσι δὲ καὶ τὰς ἀλεκτορίδας οὐχ ὥσπερ παρὰ τοῖς ἄλλοις
ἅπαξ τίκτειν, ἀλλὰ δὶς ἢ τρὶς παρ' αὐτοῖς τῆς ἡμέρας. λέ- 129
γεται δὲ καὶ ἐν Παιονίᾳ τοὺς βοῦς τοὺς ἀγρίους πολὺ με-
γίστους ἁπάντων τῶν ἐν τοῖς λοιποῖς ἔθνεσι γίγνεσθαι, καὶ
τὰ κέρατα αὐτῶν χωρεῖν τέσσαρας χόας, ἐνίων δὲ καὶ πλεῖον.

3ª Περὶ δὲ τοῦ πορθμοῦ τῆς Σικελίας καὶ ἄλλοι μὲν πλείους 130
γεγράφασι, καὶ οὗτος δέ φησι συμβαίνειν τερατῶδες. ἐκ γὰρ τοῦ Τυρρηνικοῦ πελάγους πολλῷ ῥοίζῳ φερόμενον τὸν κλύδωνα προσβάλλειν πρὸς ἀμφότερα τὰ ἀκρωτήρια, τὸ μὲν τῆς Σικελίας, τὸ δὲ τῆς Ἰταλίας, τὸ προσαγορευόμενον Ῥήγιον, καὶ φερόμενον ἐκ μεγάλου πελάγους εἰς στενὸν συγκλείεσθαι, τούτου δὲ γινομένου κῦμα μετέωρον αἴρειν σὺν πολλῷ βρόμῳ ἐπὶ πάνυ πολὺν τόπον τῆς ἄνω φορᾶς, ὥστε τοῖς μακρὰν ἀπέχουσι σύνοπτον εἶναι τὸν μετεωρισμόν, οὐχ ὅμοιον φαινόμενον θαλάσσης ἀναφορᾷ, λευκὸν δὲ καὶ ἀφρῶδες, παραπλήσιον δὲ τοῖς συρμοῖς τοῖς γινομένοις ἐν τοῖς ἀνυπερβλήτοις χειμῶσι. καὶ ποτὲ μὲν ἀλλήλοις συμπίπτειν ἐπ' ἀμφοτέρων τῶν ἀκρωτηρίων τοὺς κλύδωνας, καὶ ποιεῖν συγκλυσμὸν ἄπιστον μὲν διηγεῖσθαι, ἀνυπομόνητον δὲ τῇ ὄψει θεάσασθαι· ποτὲ δὲ διισταμένους ἐκ τῆς πρὸς ἀλλήλους συρράξεως οὕτω βαθεῖαν καὶ φρικώδη τὴν ἄποψιν ποιεῖν τοῖς ἐξ ἀνάγκης θεωμένοις, ὥστε πολλοὺς μὲν μὴ κρατεῖν ἑαυτῶν, ἀλλὰ πίπτειν σκοτουμένους ὑπὸ δέους. ἐπειδὰν δὲ προσπεσὸν τὸ κῦμα πρὸς ὁποτερονοῦν τῶν τόπων καὶ μετεωρισθὲν ἕως τῶν ἄκρων πάλιν εἰς τὴν ὑπορρέουσαν θάλασσαν κατενεχθῇ, τότε δὴ πάλιν σὺν πολλῷ μὲν βρυ-

3 παρ' αὐτοῖς Sª: om. ceteri ‖ cf. c. 1 ‖ 7 Iust. 4, 1. Hoc caput cum c. 112 coniungendum censet Sylburg ‖ τῆς] τοῦ Sª ‖ 12 καὶ om. Sª ‖ 14 τρόμῳ Sª ‖ τῆς ἄνω φορᾶς] an γῆς ἀμφοτέρας? | 15 εὐσύνοπτον Stephanus ‖ 16 ἀφρῶ παραπλήσιον· ἐν δὲ τοῖς σεισμοῖς Sª ‖ 18 καὶ om. Sª ‖ 19 ποιεῖν ποτὲ μὲν Sª ‖ 20 συγκλεισμὸν Sª ‖ 21 διιστάντας rc. Sª ‖ 23 ἐξ ἀνάγκης] ἐκ γῆς Stephanus ‖ 25 ὁπότερον Sª ‖ 26 ἕως] ἐκ Sª

χηθμῷ, μεγάλαις δὲ καὶ ταχείαις δίναις τὴν θάλασσαν ἀναζεῖν καὶ μετεωρίζεσθαι κυκωμένην ἐκ βυθῶν, παντοδαπὰς δὲ χρόας μεταλλάσσειν· ποτὲ μὲν γὰρ ζοφεράν, ποτὲ δὲ κυανῆν, πολλάκις δὲ πορφυρίζουσαν διαφαίνεσθαι. τὸν δὲ δρόμον καὶ τὸ μῆκος αὐτῆς, ἔτι δὲ πρὸς τούτοις τὴν ἀνάρροιαν, οὐδὲ ἀκούειν οὐδὲν ἑρπετὸν οὔθ᾽ ὁρᾶν ὑπομένειν, φεύγειν δὲ πάντα πρὸς τὰς ὑποκειμένας ὑπωρείας. λήγοντος δὲ τοῦ κλύδωνος τὰς δίνας μετεώρους φέρεσθαι ποικίλας οὕτω τὰς ἀναστροφὰς ποιουμένας, ὥστε δοκεῖν πρηστήρων ἢ τινων ἄλλων μεγάλων ὄφεων σπειράματι παρομοίους τὰς κινήσεις ἀποτελεῖν.

131 *Φασὶν οἰκοδομούντων Ἀθηναίων τὸ τῆς Δήμητρος ἱερὸν τῆς ἐν Ἐλευσῖνι περιεχομένην στήλην πέτραις εὑρεθῆναι χαλκῆν, ἐφ᾽ ἧς ἐπεγέγραπτο "Δηϊόπης τόδε σῆμα", ἣν οἱ μὲν λέγουσι Μουσαίου εἶναι γυναῖκα, τινὲς δὲ Τριπτολέμου μητέρα γενέσθαι.*

132 *Ἐν μιᾷ τῶν Αἰόλου προσαγορευομένων νήσων πλῆθός τί φασι γενέσθαι φοινίκων, ὅθεν καὶ Φοινικώδη καλεῖσθαι. οὐκ ἂν οὖν εἴη τὸ λεγόμενον ὑπὸ Καλλισθένους ἀληθές, ὅτι ἀπὸ Φοινίκων τῆς Συρίας τῶν τὴν παραλίαν οἰκούντων τὸ φυτὸν ἔλαβε τὴν προσηγορίαν. ἀλλὰ καὶ αὐτοὺς τοὺς Φοίνικας ὑπὸ τῶν Ἑλλήνων φασί τινες [φοίνικας] προσαγορευθῆναι διὰ τὸ πρώτους πλέοντας τὴν θάλασσαν, ᾗ ἂν ἀποβαίησαν, πάντας ἀποκτείνειν καὶ φονεύειν. καὶ κατὰ γλῶσσαν δ᾽ ἐστὶ τὴν Περραιβῶν τὸ αἱμάξαι φοινίξαι.*

133 *Τῆς καλουμένης Αἰνιακῆς χώρας περὶ τὴν ὀνομαζομένην Ὑπάτην λέγεται παλαιά τις στήλη εὑρεθῆναι, ἣν οἱ Αἰνιᾶνες τίνος ἦν εἰδέναι βουλόμενοι, ἔχουσαν ἐπιγραφὴν ἀρχαίοις γράμμασιν, ἀπέστειλαν εἰς Ἀθήνας τινὰς κομί-*

1 *ἀναζεῖν*] *αὔξειν* rc. Sa ‖ 3 *μεταλάσειν* Sa ‖ 8 *δίνας*] *ναῦς* Sa ‖ *φαίνεσθαι* Sa ‖ 10 *σπειράμασι* malebat Sylburg ‖ 18 *Φοινικοῦσσαν* malebat Sylburg ‖ 22 *φοίνικας* om. quidam codd. ‖ 25 'pro *ἔστι* si *ἔτι* malis, per me licet' Sylburg ‖ 26 *αἰνικῆς* Sa

ζοντας αὐτήν. πορευομένων δὲ διὰ τῆς Βοιωτίας, καί τισι τῶν ξένων ὑπὲρ τῆς ἀποδημίας ἀνακοινουμένων, λέγεται αὐτοὺς εἰσαχθῆναι εἰς τὸ καλούμενον Ἰσμήνιον ἐν Θήβαις· ἐκεῖθεν γὰρ μάλιστα ἂν εὑρεθῆναι τὴν τῶν γραμμάτων ἐπιγραφήν, λέγοντες εἶναί τινα ἀναθήματα ὁμοίους ἔχοντα τοὺς ῥυθμοὺς τῶν γραμμάτων ἀρχαῖα. ὅθεν αὐτούς φασιν ἀπὸ τῶν γνωριζομένων τὴν εὕρεσιν ποιησαμένους τῶν ἐπιζητουμένων, ἀναγράψαι τούσδε τοὺς στίχους.

Ἡρακλέης τεμένισσα Κυθήρᾳ Πασιφαέσσῃ,
Γηρυονέως ἀγέλας ἠδ' Ἐρύθειαν ἄγων.
τᾶς μ' ἐδάμασσε πόθῳ Πασιφάεσσα θεά.
τῇδε δέ μοι τεκνοῖ παῖδ' Ἐρύθοντα δάμαρ
νυμφογενὴς Ἐρύθη· τῇ τόδ' ἔδωκα πέδον,
μναμόσυνον φιλίας, φηγῷ ὑπὸ σκιερᾷ.

844a τούτῳ τῷ ἐπιγράμματι ἐπεχώρησε καὶ ὁ τόπος ἐκεῖνος Ἔρυθος καλούμενος, καὶ ὅτι ἐκεῖθεν τὰς βοῦς καὶ οὐκ ἐξ Ἐρυθείας ἤγαγεν· οὐδὲ γὰρ ἐν τοῖς κατὰ Λιβύην καὶ Ἰβηρίαν τόποις οὐδαμοῦ τὸ ὄνομά φασι λέγεσθαι τῆς Ἐρυθείας.

4 ἂν om. S^a ‖ 5 ὁμοίους om. S^a ‖ 9 epigr. ex emend. G. Hermanni in opusc. 5 p. 179 sqq. Ante Hermannum in epigr. emendando operam collocaverunt Heyne ad calcem adnott. Beckmanni in hunc librum p. 419, Salmasius apud Is. Vossium ad Scylacis Periplum p. 4, Is. Voss. ipse ad Pomponium Melam p. 251, Bouherius in dissertatione lingua franco-gallica conscripta, denuo edita a Beckmanno ad calcem huius libri p. 403 sqq. Nuperrime de hoc epigr. egit P. Unger in progr. Altenburgensi 1887, cui inscriptum est 'de antiquissima Aenianum inscriptione commentatio'. Qui quae commentus sit referre cum longum sit, ipsum adeas ‖ ἡρακλέους rc. S^a, ἡρακλέος pr. S^a ‖ τεμενις τε vel τεμένιστε pr. S^a, τεμένει τε rc. S^a ‖ φερσεφαάσσῃ S^a, Φερσεφαάσῃ ceteri ‖ 10 γηρυονείας S^a ‖ ἀγέλας] ἀγέλας ἐλάων S^a, ut videtur ‖ ἐρυθὸν S^a ‖ 11 τὰς δάμασσε S^a, τὰς δ' ἐδάμασσε ceteri ‖ 12 τεκνοῖ παῖδ' Ἐρύθοντα] τέκνῳ τῷ δ' ἐρύθου τε S^a, ut videtur, τέκνῳ τῷ δ' ἐρύθοντι ceteri ‖ δάμαρ νυμφηγενὴς S^a ‖ 13 τῇ] δὴ codd. ‖ 14 φιλότας codd. ‖ φηγῷ] φυτὰ S^a ‖ σκιερά S^a

134 *Τῆς δὲ Λιβύης ἐν Ἰτύκῃ τῇ καλουμένῃ, ᾗ κεῖται μέν, ὡς λέγουσιν, ἐν τῷ κόλπῳ τῷ μεταξὺ Ἑρμαίας καὶ τῆς Ἵππου ἄκρας, ἐπέκεινα δὲ Καρχηδόνος ὡς σταδίους διακοσίους (ἣ καὶ πρότερον κτισθῆναι λέγεται ὑπὸ Φοινίκων αὐτῆς τῆς Καρχηδόνος ἔτεσι διακοσίοις ὀγδοήκοντα ἑπτά, ὡς ἀναγέγραπται ἐν ταῖς Φοινικικαῖς ἱστορίαις), γίνεσθαί φασιν ἅλας ὀρυκτούς, ἐπὶ τρεῖς ὀργυιὰς τὸ βάθος, τῇ ὄψει λευκοὺς καὶ οὐ στερεούς, ἀλλ' ὁμοίους τῷ γλισχροτάτῳ γλοιῷ· καὶ ὅταν ἀνενεχθῶσιν εἰς τὸν ἥλιον, ἀποστερεοῦσθαι καὶ γίνεσθαι ὁμοίους τῷ Παρίῳ λίθῳ. γλύφεσθαι δὲ ἐξ αὐτῶν λέγουσι ζῴδια καὶ ἄλλα σκεύη.*

135 *Τοὺς πρώτους τῶν Φοινίκων ἐπὶ Ταρτησσὸν πλεύσαντας λέγεται τοσοῦτον ἀργύριον ἀντιφορτίσασθαι, ἔλαιον καὶ ἄλλον ναυτικὸν ῥῶπον εἰσαγαγόντας, ὥστε μηκέτι ἔχειν δύνασθαι μήτε ἐπιδέξασθαι τὸν ἄργυρον, ἀλλ' ἀναγκασθῆναι ἀποπλέοντας ἐκ τῶν τόπων τά τε ἄλλα πάντα ἀργυρᾶ, οἷς ἐχρῶντο, κατασκευάσασθαι, καὶ δὴ καὶ τὰς ἀγκύρας πάσας.*

136 *Λέγουσι τοὺς Φοίνικας τοὺς κατοικοῦντας τὰ Γάδειρα καλούμενα, ἔξω πλέοντας Ἡρακλείων στηλῶν ἀπηλιώτῃ ἀνέμῳ ἡμέρας τέτταρας, παραγίνεσθαι εἴς τινας τόπους ἐρήμους, θρύου καὶ φύκους πλήρεις, οὓς ὅταν μὲν ἄμπωτις ᾖ μὴ βαπτίζεσθαι, ὅταν δὲ πλημμύρα, κατακλύζεσθαι, ἐφ' ὧν εὑρίσκεσθαι ὑπερβάλλον θύννων πλῆθος, καὶ τοῖς μεγέθεσιν ἄπιστον καὶ τοῖς πάχεσιν, ὅταν ἐποκείλωσιν· οὓς ταριχεύοντες καὶ συντιθέντες εἰς ἀγγεῖα διακομίζουσιν εἰς Καρχηδόνα. ὧν Καρχηδόνιοι μόνων οὐ ποιοῦνται τὴν ἐξαγωγήν, ἀλλὰ διὰ τὴν ἀρετήν, ἣν ἔχουσι κατὰ τὴν βρῶσιν, αὐτοὶ καταναλίσκουσιν.*

1 Plin. 31, 7 ‖ *ἐν τῇ καλουμένῃ Ἰτύκῃ* Sylburg ‖ *ἣ* — 6 *ἱστορίαις* pro gloss. habet F. C. Matthiae ‖ 2 *Ἑρμάνας* Casaubonus in marg. ‖ 12 Diod. Sic. 5, 35 ‖ 14 *ναυτικῶν* S^a ‖ *ῥοπῶν* pr. S^a ‖ 15 *τὸ ἀργύριον* S^a ‖ 22 *ὧν*] *οἷς* rc. S^a ‖ 26 *μόνον οὐ μόνον* S^a

Ἐν τῇ Πηδασίᾳ τῆς Καρίας θυσία τῷ Διὶ συντελεῖ- 137
ται, ἐν ᾗ πέμπουσιν αἶγά τινα, περὶ ἣν θαυμαστόν τί φασι γίγνεσθαι. βαδίζουσα γὰρ ἐκ Πηδάσων σταδίους ἑβδομήκοντα δι' ὄχλου πολλοῦ τοῦ θεωροῦντος οὔτε διαταράττεται κατὰ τὴν πορείαν οὔτ' ἐκτρέπεται τῆς ὁδοῦ, δεδεμένη δὲ σχοινίῳ προπορεύεται τοῦ τὴν ἱερωσύνην ἔχοντος. θαυμαστὸν δ' ἐστὶ καὶ τὸ δύο κόρακας εἶναι διὰ τέλους περὶ τὸ τοῦ Διὸς ἱερόν, ἄλλον δὲ μηδένα προσιέναι πρὸς τὸν τόπον, καὶ τὸν ἕτερον αὐτῶν ἔχειν τὸ πρόσθεν τοῦ τραχήλου λευκόν.

Ἐν Ἰλλυριοῖς δὲ τοῖς Ἀρδιαίοις καλουμένοις, παρὰ τὰ 138
μεθόρια τῶν Αὐταριατῶν κἀκείνων, φασὶν ὄρος εἶναι μέγα, τούτου δὲ πλησίον ἄγκος, ὅθεν ὕδωρ ἀναπηδᾶν, οὐ πᾶσαν ὥραν ἀλλὰ τοῦ ἦρος, πολὺ τῷ πλήθει, ὃ λαμβάνοντες τὰς μὲν ἡμέρας ἐν τῷ στεγνῷ φυλάττουσι, τὰς δὲ νύκτας εἰς τὴν αἰθρίαν τιθέασι. καὶ πέντε ἢ ἓξ ἡμέρας τοῦτο ποιησάντων αὐτῶν πήγνυται τὸ ὕδωρ, καὶ γίνεται κάλλιστον ἅλας, ὃ ἕνεκεν τῶν βοσκημάτων μάλιστα διατηροῦσιν· οὐ γὰρ εἰσάγονται πρὸς αὐτοὺς ἅλες διὰ τὸ κατοικεῖν πόρρω αὐτοὺς θαλάσσης καὶ εἶναι αὐτοὺς ἀμίκτους. πρὸς οὖν τὰ βοσκήματα πλείστην αὐτοῦ χρείαν ἔχουσιν· ἁλίζουσι γὰρ αὐτὰ δὶς τοῦ ἐνιαυτοῦ. ἐὰν δὲ μὴ ποιήσωσι τοῦτο, συμβαίνει αὐτοῖς ἀπόλλυσθαι τὰ πλεῖστα τῶν βοσκημάτων.

Ἐν Ἄργει δέ φασι γίνεσθαι ἀκρίδος τι γένος, ὃ κα- 139
λεῖται σκορπιομάχον. ὅταν γὰρ ἴδῃ τάχιστα σκορπίον, ἀνθίσταται αὐτῷ· ὡσαύτως δὲ καὶ ὁ σκορπίος ἐκείνῃ. καὶ κύκλῳ περιιοῦσα τρίζει περὶ αὐτόν· τὸν δὲ τὸ κέντρον ἐπαίροντα ἀντιπεριάγειν ἐν τῷ αὐτῷ τόπῳ, εἶτα κατὰ μι-

1 Apoll. hist. mir. c. 13 et supra c. 126 ‖ 6 σχοινίῳ] σχεδὸν rc. S^a ‖ 7 παρὰ S^a ‖ 10 ταρδίοις S^a ‖ 11 αὐθαριάδων rc. S^a ‖ 13 τὰς μὲν ἡμέρας — 14 τὰς δὲ νύκτας 'nescio an incuria librariorum hic transposita sint' Beckmann ‖ 23 Trophilus ap. Stob. floril. 100, 24 ‖ καλεῖσθαι S^a (ἣν καλεῖσθαι Stob.) ‖ 24 ἀνθίστασθαι S^a ‖ 25 ἐκείνης S^a

κρὸν ἀνιέναι τὸ κέντρον, καὶ τέλος ὅλον ἐκτείνεσθαι, τῆς ἀκρίδος κύκλῳ τρεχούσης. τὰ τελευταῖα δὲ προσελθοῦσα κατεσθίει αὐτὸν ἡ ἀκρίς. ἀγαθὸν δέ φασιν εἶναι καὶ πρὸς τὰς πληγὰς τοῦ σκορπίου ἐπιφαγεῖν αὐτήν.

140 Τοὺς ἐν Νάξῳ σφῆκάς φασιν, ὅταν φάγωσι τοῦ ἔχεως (προσφιλὴς δ' αὐτοῖς ἡ σάρξ, ὡς ἔοικεν, ἐστίν), ἐπειδάν τινα κεντήσωσι, περιωδύνους οὕτω ποιεῖν ὥστε χαλεπωτέραν φαίνεσθαι τῆς πληγῆς τῶν ἔχεων.

141 Φασὶ τὸ Σκυθικὸν φάρμακον, ᾧ ἀποβάπτουσι τοὺς 845 ὀϊστούς, συντίθεσθαι ἐξ ἐχίδνης. τηροῦσι δέ, ὡς ἔοικεν, οἱ Σκύθαι τὰς ἤδη ζῳοτοκούσας, καὶ λαβόντες αὐτὰς τήκουσιν ἡμέρας τινάς. ὅταν δὲ ἱκανῶς αὐτοῖς δοκῇ σεσῆφθαι πᾶν, τὸ τοῦ ἀνθρώπου αἷμα εἰς χυτρίδιον ἐγχέοντες εἰς τὰς κοπρίας κατορύττουσι πωμάσαντες. ὅταν δὲ καὶ τοῦτο σαπῇ, τὸ ὑφιστάμενον ἐπάνω τοῦ αἵματος, ὃ δή ἐστιν ὑδατῶδες, μιγνύουσι τῷ τῆς ἐχίδνης ἰχῶρι, καὶ οὕτω ποιοῦσι θανάσιμον.

142 Ἐν Κουρίῳ τῆς Κύπρου ὄφεών τι γένος εἶναί φασιν, ὃ τὴν δύναμιν ὁμοίαν ἔχει τῇ ἐν Αἰγύπτῳ ἀσπίδι, πλὴν ὅτι τοῦ χειμῶνος ἐὰν δάκῃ, οὐδὲν ἐργάζεται, εἴτε δι' ἄλλην τινὰ αἰτίαν, εἴτε διότι τὸ ζῷον δυσκίνητον γίνεται ὑπὸ τοῦ ψύχους ἀποπηγνύμενον καὶ τελέως ἀδύνατον, ἐὰν μὴ θερμανθῇ.

143 Ἐν Κέῳ φασὶν εἶναί τι γένος ἀχέρδου, ὑφ' ἧς ἐάν τις πληγῇ τῇ ἀκάνθῃ, ἀποθνήσκει.

144 Ἐν Μυσίᾳ φασὶν ἄρκτων τι γένος εἶναι λευκόν, αἳ ὅταν κυνηγῶνται, ἀφιᾶσι τοιαύτην πνοὴν ὥστε τῶν κυνῶν τὰς σάρκας σήπειν, ὡσαύτως δὲ καὶ τῶν λοιπῶν θηρίων, ἀβρώτους τε ποιεῖν. ἐὰν δέ τις καὶ βιάσηται καὶ ἐγγίσῃ, ἀφιᾶσιν ἐκ τοῦ στόματος φλέγμα πάμπολύ τι, ὡς ἔοικεν,

5 Ael. 9, 15. Plin. 11, 53 ‖ 9 Ael. et Plin. l. l. ‖ 13 τὸ τοῦ] τότε Sylburg ‖ τοὺς κοπρίους S^a ‖ 14 κατορύσσουσι S^a ‖ 15 ἐφιστάμενον Bonitz ind. Arist. 808a 23 ‖ 17 κουρείω S^a ‖ 23 Antig. c. 18 ‖ ἢ S^a

ὃ προσφυσᾷ πρὸς τὰ πρόσωπα τῶν κυνῶν, ὡσαύτως δὲ καὶ τῶν ἀνθρώπων, ὥστε καὶ ἀποπνίγειν καὶ ἀποτυφλοῦν.

Ἐν δὲ τῇ Ἀραβίᾳ ὑαινῶν τι γένος φασὶν εἶναι, ὃ 145 ἐπειδὰν προΐδῃ τι θηρίον ἢ ἀνθρώπου ἐπιβῇ ἐπὶ τὴν σκιάν, ἀφωνίαν ἐργάζεται καὶ πῆξιν τοιαύτην ὥστε μὴ δύνασθαι κινεῖν τὸ σῶμα. τοῦτο δὲ ποιεῖν καὶ ἐπὶ τῶν κυνῶν.

Κατὰ δὲ Συρίαν εἶναί τί φασι ζῷον, ὃ καλεῖται λεοντοφόνον· 146 ἀποθνήσκει γὰρ ὁ λέων, ὡς ἔοικεν, ὅταν αὐτοῦ φάγῃ. ἑκὼν μὲν οὖν τοῦτο οὐ ποιεῖ, ἀλλὰ φεύγει τὸ ζῷον· ὅταν δὲ συλλαβόντες αὐτὸ οἱ κυνηγέται καὶ ὀπτήσαντες ὥσπερ ἄλφιτα λευκὰ περιπάσσωσιν ἄλλῳ ζῴῳ, γευσάμενον ἀπόλλυσθαί φασι παραχρῆμα. κακοῖ καὶ προσουροῦν τὸν λέοντα τοῦτο τὸ ζῷον.

Λέγεται καὶ τοὺς γῦπας ὑπὸ τῆς τῶν μύρων ὀσμῆς 147
5b ἀποθνήσκειν, ἐάν τις αὐτοὺς χρίσῃ ἢ δῷ τι μεμυρισμένον φαγεῖν. ὡσαύτως δὲ καὶ τοὺς κανθάρους ὑπὸ τῆς τῶν ῥόδων ὀσμῆς.

Καὶ ἐν Σικελίᾳ δέ φασι καὶ ἐν Ἰταλίᾳ τοὺς γαλεώτας 148 θανάσιμον ἔχειν τὸ δῆγμα, καὶ οὐχ ὥσπερ τοὺς παρ' ἡμῖν ἀσθενὲς καὶ μαλακόν. εἶναι δὲ καὶ μυῶν γένος ἐφιπτάμενον, ὃ ὅταν δάκῃ, ἀποθνήσκειν ποιεῖ. ἐν δὲ τῇ Μεσοποταμίᾳ 149 τῆς Συρίας φασὶ καὶ ἐν Ἰστροῦντι ὀφείδιά τινα γίγνεσθαι, ἃ τοὺς ἐγχωρίους οὐ δάκνει, τοὺς ξένους δὲ ἀδικεῖ σφόδρα. περὶ δὲ τὸν Εὐφράτην καὶ τελείως φασὶ τοῦτο γίγνεσθαι. 150 πολλοὺς γὰρ φαίνεσθαι περὶ τὰ χείλη τοῦ ποταμοῦ καὶ διανέοντας ἐφ' ἑκάτερα, ὥστε τῆς δείλης ἐνταῦθα θεωρουμένους

1 προσπύσαι rc. S^a ‖ 3 Ael. 3, 7. 6, 14 ‖ 4 ἄνθρωπος Salmasius ‖ 5 ἐργάζεσθαι S^a, recte fort. ‖ 7 Ael. 4, 18. Plin. 8, 38. Solin. c. 27 p. 36 ‖ 11 ἄλλο ζῷον S^a ‖ 14 Theophr. de odor. p. 442. Ael. 3, 7. 4, 18. Plin. 11, 53 ‖ 18 Arist. hist. an. 607a 27 sq. ‖ 19 τοὺς] τὸ S^a ‖ 21 Plin. 8, 59 ‖ 22 οἰστροῦντι pr. S^a, μυροῦντι rc. S^a, Τιρύνθι Holsten, Mirinthe sive Myrinthe codd. apud Plin., Myunte Salmasius ‖ 24 Plin. l. l. Apoll. c. 12. Ael. 9, 29 ‖ 26 θεωρουμένης S^a

ἅμα τῇ ἡμέρᾳ ἐπὶ θατέρου μέρους φαίνεσθαι, καὶ τοὺς ἀναπαυομένους τῶν μὲν Σύρων μὴ δάκνειν, τῶν δ' Ἑλλήνων μὴ ἀπέχεσθαι.

151 Ἐν Θεσσαλίᾳ φασὶ τὸν ἱερὸν καλούμενον ὄφιν πάντας ἀπολλύειν, οὐ μόνον ἐὰν δάκῃ, ἀλλὰ καὶ ἐὰν θίγῃ. διὸ καὶ ὅταν φανῇ καὶ τὴν φωνὴν ἀκούσωσι (φαίνεται δὲ σπανίως), φεύγουσι καὶ οἱ ὄφεις καὶ οἱ ἔχεις καὶ τἆλλα πάντα θηρία. τῷ δὲ μεγέθει οὐκ ἔστι μέγας, ἀλλὰ μέτριος. ἐν Τήνῳ δέ ποτέ φασιν αὐτὸν τῇ πόλει κατὰ Θετταλίαν ἀναιρεθῆναι ὑπὸ γυναικός, γενέσθαι δὲ τὸν θάνατον τοιόνδε. γυναῖκα κύκλον γράψασαν καὶ τὰ φάρμακα θεῖσαν εἰσβῆναι εἰς τὸν κύκλον, αὐτὴν καὶ τὸν υἱόν, εἶτα μιμεῖσθαι τὴν φωνὴν τοῦ θηρίου· τὸ δ' ἀντᾴδειν καὶ προσιέναι. ᾄδοντος δὲ καταδαρθεῖν τὴν γυναῖκα, καὶ ἐγγυτέρω προσιόντος μᾶλλον, ὥστε μὴ δύνασθαι κρατεῖν τοῦ ὕπνου. τὸν δ' υἱὸν παρακαθήμενον ἐγείρειν τύπτοντα, κελευούσης ἐκείνης, καὶ λέγειν ὅτι ἐὰν μὲν καθυπνώσῃ, ἀπολεῖται καὶ αὐτὴ καὶ ἐκεῖνος, ἐὰν δὲ βιάσηται καὶ προσαγάγηται τὸ θηρίον, σωθήσονται. ὡς δὲ προσῆλθεν ὁ ὄφις εἰς τὸν κύκλον, αὖον εὐθὺς γενέσθαι αὐτόν.

152 Λέγεται περὶ τὰ Τύανα ὕδωρ εἶναι ὁρκίου Διός (καλοῦσι δὲ αὐτὸ Ἀσβαμαῖον), οὗ πηγὴ ἀναδίδοται πάνυ ψυχρά, παφλάζει δὲ ὥσπερ οἱ λέβητες. τοῦτο εὐόρκοις μὲν ἡδύ τε 84
καὶ ἵλεων, ἐπιόρκοις δὲ παρὰ πόδας ἡ δίκη. ἀποσκήπτει γὰρ καὶ εἰς ὀφθαλμοὺς καὶ εἰς χεῖρας καὶ εἰς πόδας, ἁλίσκονταί τε ὑδέροις καὶ φθόαις· καὶ οὐδὲ πρόσθεν ἀπελθεῖν δυνατόν, ἀλλ' αὐτόθι ἔχονται καὶ ὀλοφύρονται πρὸς τῷ ὕδατι, ὁμολογοῦντες ἃ ἐπιώρκησαν.

5 ἂν Sᵃ ‖ 15 τὸν ὕπνον rc. Sᵃ ‖ 19 λύσιν εὐθὺς γ. αὐτοῦ duo Bekk. codd. ‖ 20 post αὐτὸν Sᵃ haec: ἐν ἄλλῳ ἀντιγράφῳ ἡ προκειμένη ἀρχὴ πᾶσα τῶν παραδόξων ἀκουσμάτων ἔλειπεν ἄχρι τοῦ 'ἐν βιθυνίᾳ δὲ τῆς θρᾴκης ἐν τοῖς μετάλλοις' (c. 33), ἦσαν δὲ ἀντ' ἐκείνων τὰ ὑποτεταγμένα ‖ 21 Philostr. vita Apollonii Tyan. I, 6

Ἀθήνησί φασι τὸν ἱερὸν τῆς ἐλαίας θαλλὸν ἐν ἡμέρᾳ 153
*μιᾷ βλαστῆσαι καὶ πλείονα γενέσθαι, ταχὺ δὲ αὖ πάλιν
συστέλλεσθαι.*

Τῶν ἐν Αἴτνῃ κρατήρων ἀναρραγέντων καὶ ἀνὰ τὴν 154
*γῆν φερομένων ἔνθα καὶ ἔνθα χειμάρρου δίκην, τὸ τῶν
εὐσεβῶν γένος ἐτίμησε τὸ δαιμόνιον. περικαταληφθέντων
γὰρ ὑπὸ τοῦ ῥεύματος διὰ τὸ βαστάζειν γέροντας ἐπὶ τῶν
ὤμων γονεῖς καὶ σώζειν, πλησίον αὐτῶν γενόμενον τὸ τοῦ
πυρὸς ῥεῦμα ἐξεσχίσθη, παρέτρεψέ τε τοῦ φλογμοῦ τὸ μὲν
ἔνθα τὸ δὲ ἔνθα, καὶ ἐτήρησεν ἀβλαβεῖς ἅμα τοῖς γονεῦσι
τοὺς νεανίσκους.*

Λέγεται τὸν ἀγαλματοποιὸν Φειδίαν κατασκευάζοντα τὴν 155
*ἐν ἀκροπόλει Ἀθηνᾶν ἐν μεσότητι ταύτης τῆς ἀσπίδος τὸ
ἑαυτοῦ πρόσωπον ἐντυπώσασθαι, καὶ συνδῆσαι τῷ ἀγάλματι
διά τινος ἀφανοῦς δημιουργίας, ὥστ' ἐξ ἀνάγκης, εἴ τις
βούλοιτο αὐτὸ περιαιρεῖν, τὸ σύμπαν ἄγαλμα λύειν τε καὶ
συγχεῖν.*

Φασὶν ὡς ἀνδριὰς ὁ τοῦ Βίτυος ἐν Ἄργει ἀπέκτεινε 156
*⟨τὸν αἴτιον⟩ τοῦ θανάτου τῷ Βίτυϊ, θεωροῦντι ἐμπεσών.
ἔοικεν οὖν οὐκ εἰκῇ τὰ τοιαῦτα γίνεσθαι.*

Φασὶ τοὺς κύνας μόνον διώκειν τὰ θηρία πρὸς τὰς 157
*κορυφὰς τῶν Μελάνων καλουμένων ὀρῶν, ἀλλ' ἀναστρέφειν,
ὅταν ἄχρι τούτων διώκωσιν.*

Ἐν τῷ Φάσιδι ποταμῷ γεννᾶσθαι ῥάβδον ὀνομαζομένην 158
*λευκόφυλλον, ἣν οἱ ζηλότυποι τῶν ἀνδρῶν δρεπόμενοι
ῥίπτουσι περὶ τὸν παρθένιον θάλαμον, καὶ ἀνόθευτον
τηροῦσι τὸν γάμον. ἐν δὲ τῷ Τίγριδι γίνεσθαί φασι λίθον* 159

4 Arist. de mundo 400ª 33 sqq. ‖ 6 *περικαταλειφθέντων* Sª ‖ 12 Arist. de mundo 399ᵇ 33 sqq. ‖ 13 *ἐν μέσῃ τῇ ταύτης ἀσπίδι* Aristot. ‖ 18 Arist. poet. 1452ª 7 sq. Plut. de ser. num. vind. c. 8 ‖ *Μίτυος* Arist., *Μιτίου* Plut. ‖ 19 *τὸν αἴτιον* om. codd. Additum ex Arist. ‖ *θεάτρου* Sª ‖ *θεωροῦντος* Sª ‖ 20 *οὖν*] *γὰρ* Plut. ‖ *γενέσθαι* Plut. ‖ 21 *κάρας μὴ διώκειν* Sª ‖ 22 *μεγάλων* Sª ‖ 24 Plut. de fluv. c. 5 ‖ 26 *παρθένιαν* Sª ‖ 27 Plut. de fluv. c. 24

μωδῶν κεκλημένον βαρβαρικῶς, τῇ χρόᾳ πάνυ λευκόν, ὃν
160 *ἐὰν κατέχῃ τις, ὑπὸ θηρίων οὐδὲν ἀδικεῖται. ἐν δὲ τῷ Σκαμάνδρῳ γίνεσθαί φασι βοτάνην σίστρον καλουμένην, παραπλησίαν ἐρεβίνθῳ, κόκκους δ' ἔχει σειομένους, ὅθεν τὴν προσηγορίαν ἔλαβε· ταύτην τοὺς κατέχοντας μήτε δαιμόνιον μήτε φαντασίαν ἡντιναοῦν φοβεῖσθαι.*

161 *Περὶ Λιβύην ἄμπελός ἐστιν, ἣν καλοῦσι μαινομένην τινές, ἣ τῶν καρπῶν τοὺς μὲν πεπαίνει, τοὺς δ' ὀμφακώδεις ἔχει, τοὺς δ' ἀνθοῦντας καὶ βραχύν τινα χρόνον.*

162 *Περὶ τὸ Σίπυλον ὄρος γίνεσθαί φασι λίθον παρόμοιον κυλίνδρῳ, ὃν οἱ εὐσεβεῖς υἱοὶ ὅταν εὕρωσιν, ἐν τῷ τεμένει τῆς μητρὸς τῶν θεῶν τιθέασι, καὶ οὐδέποτε χάριν ἀσεβείας ἁμαρτάνουσιν, ἀλλ' ἀεί εἰσι φιλοπάτορες.*

163 *Ἐν ὄρει Τηϋγέτῳ γίνεσθαι βοτάνην καλουμένην χαρισίαν, ἣν γυναῖκες ἔαρος ἀρχομένου τοῖς τραχήλοις περιάπτουσι, καὶ ὑπὸ τῶν ἀνδρῶν συμπαθέστερον ἐρῶνται.*

164 *Ὄθρυς ὄρος ἐστὶ Θετταλίας, ὃ φέρει ὄφεις τοὺς λεγομένους σῆπας, οἳ οὐκ ἔχουσι μίαν χροιάν, ἀλλ' ἀεὶ ὁμοιοῦνται τῷ χώρῳ, ἐν ᾧ οἰκοῦσι. τινὲς δὲ αὐτῶν ὅμοιον ἔχουσι τὸ χρῶμα τοῖς κόχλοις τῆς γῆς. ἄλλοις δὲ χλοάζουσά ἐστιν ἡ φολίς. ὅσοι δὲ αὐτῶν ἐν ψαμάθοις διατρίβουσι, ταύταις ἐξομοιοῦνται κατὰ τὸ χρῶμα. δάκνοντες δὲ ἐμποιοῦσι δίψος. ἔστι δὲ αὐτῶν τὸ δῆγμα οὐ τραχὺ καὶ ἔμπυρον, ἀλλὰ κακόηθες.*

165 *Τοῦ περκνοῦ ἔχεως τῇ ἐχίδνῃ συγγινομένου, ἡ ἔχιδνα ἐν τῇ συνουσίᾳ τὴν κεφαλὴν ἀποκόπτει. διὰ τοῦτο καὶ τὰ τέκνα, ὥσπερ τὸν θάνατον τοῦ πατρὸς μετερχόμενα, τὴν γαστέρα τῆς μητρὸς διαρρήγνυσιν.*

1 *μυνδὰν* Plut. || 2 Plut. de fluv. c. 13 || 3 *σεῖστρον* 'cod. Vindob. subobscure' Beckmann. Commendabatur a Sylburgio || 4 *παραπλήσιον* Sa || 7 Theophr. de caus. plant. c. 22 || 10 Plut. de fluv. c. 9 || 13 *ἀλλ'*] *καὶ* Sa || *ἀεὶ* om. Sa || 14 Plut. de fluv. c. 17 || 27 *ὥσπερ* om. Sa

Ἐν τῷ Νείλῳ ποταμῷ γεννᾶσθαι λίθον φασὶ κυάμῳ 166
παρόμοιον, ὃν ἂν κύνες ἴδωσιν, οὐχ ὑλακτοῦσι. συντελεῖ
δὲ καὶ τοῖς δαίμονί τινι γενομένοις κατόχοις· ἅμα γὰρ τῷ
προστεθῆναι ταῖς ῥισὶν ἀπέρχεται τὸ δαιμόνιον. ἐν δὲ τῷ 167
Μαιάνδρῳ ποταμῷ τῆς Ἀσίας λίθον φασὶ σώφρονα καλού-
μενον κατ' ἀντίφρασιν· ὃν ἐάν τις εἴς τινος ἐμβάλῃ κόλπον,
ἐμμανὴς γίνεται καὶ φονεύει τινὰ τῶν συγγενῶν.

Ῥῆνος καὶ Ἴστρος οἱ ποταμοὶ ὑπ' ἄρκτον ῥέουσιν, ὁ 168
μὲν Γερμανούς, ὁ δὲ Παίονας παραμείβων· καὶ θέρους μὲν
ναυσίπορον ἔχουσι τὸ ῥεῖθρον, τοῦ δὲ χειμῶνος παγέντες ὑπὸ
κρύους ἐν πεδίου σχήματι καθιππεύονται.

Περὶ τὴν Θούριον πόλιν δύο ποταμούς φασιν εἶναι, Σύ- 169
βαριν καὶ Κρᾶθιν. ὁ μὲν οὖν Σύβαρις τοὺς πίνοντας ἀπ'
αὐτοῦ πτυρτικοὺς εἶναι ποιεῖ, ὁ δὲ Κρᾶθις τοὺς ἀνθρώπους
ξανθότριχας λουομένους. ἐν δὲ Εὐβοίᾳ δύο ποταμοὺς εἶναι, 170
ὧν ἀφ' οὗ μὲν τὰ πίνοντα πρόβατα λευκὰ γίνονται· ὃς ὀνο-
μάζεται Κέρβης· ὁ δὲ Νηλεύς, ὃς μέλανα ποιεῖ.

7ª Παρὰ Λυκόρμᾳ ποταμῷ γεννᾶσθαι βοτάνην λόγχῃ παρ- 171
όμοιον, συντελοῦσαν πρὸς ἀμβλυωπίαν ἄριστα.

Τὴν ἐν Συρακούσαις τῆς Σικελίας πηγὴν Ἀρέθουσαν 172
διὰ πενταετηρίδος κινεῖσθαι λέγουσιν.

Ἐν ὄρει Βερεκυνθίῳ γεννᾶσθαι λίθον καλούμενον μά- 173
χαιραν, ὃν ἐὰν εὕρῃ τις, τῶν μυστηρίων τῆς Ἑκάτης ἐπι-
τελουμένων ἐμμανὴς γίνεται, ὡς Εὔδοξός φησιν. ἐν ὄρει 174
δὲ Τμώλῳ γεννᾶσθαι λίθον παρόμοιον κισσήρει, ὃς τετράκις

1 Plut. de fluv. c. 16 ‖ 4 Plut. de fluv. c. 9 ‖ 5 σώφρονα Plut.: τέφρωνα Sª, ἄφρονα ceteri ‖ 8 Herodian. hist. 6, 7 ‖ 12 Theophr. ap. Ael. 12, 36. Plin. 31, 2. Antig. c. 134 ‖ σούβαριν Sª ‖ 13 σούβαρις Sª ‖ ἵππους ad πίνοντας ex Strab. 6 p. 263 addi vult Niclas ‖ 15 Antig. c. 78 ‖ εὐοία Sª ‖ 16 μὲν om. Sª. An forte ὁ μὲν ἀφ' οὗ restituendum pro ὧν ἀφ' οὗ μέν? ‖ 17 νηνεὺς Sª ‖ 18 Plut. de fluv. c. 8 ‖ Λυκόρμα Plut.: λυκάρμω Sª ‖ 20 Seneca nat. quaest. 3, 26 ‖ 22 Plut. de fluv. c. 10 ‖ 24 Plut. de fluv. c. 7 ‖ 25 τμώκω Sª ‖ κίσσηρι Sª

τῆς ἡμέρας ἀλλάσσει τὴν χρόαν· βλέπεσθαι δὲ ὑπὸ παρθένων τῶν μὴ τῷ χρόνῳ φρονήσεως μετεχουσῶν.

175 Ἐν Ἀρτέμιδος Ὀρθωσίας βωμῷ ταῦρον ἵστασθαι χρύσειον, ὃς κυνηγῶν εἰσελθόντων φωνὴν ἐπαφίησιν. 84

176 Ἐν Αἰτωλοῖς φασὶν ὁρᾶν τοὺς ἀσπάλακας ἀμυδρῶς, καὶ οὐδὲ σιτεῖσθαι γῆν, ἀλλ' ἀκρίδας.


177 Τοὺς ἐλέφαντάς φασι κύειν ἔτη δύο, οἱ δὲ μῆνας ὀκτωκαίδεκα· ἐν δὲ τῇ ἐκτέξει δυστοκεῖν.

178 Δημάρατον Τιμαίου τοῦ Λοκροῦ ἀκουστὴν νοσήσαντα ἄφωνόν φασιν ἐπὶ δέκα γενέσθαι ἡμέρας· ἐν δὲ τῇ ἑνδεκάτῃ ἀνανήψας βραδέως ἐκ τῆς παρακοπῆς ἔφησεν ἐκεῖνον τὸν χρόνον ἥδιστα αὐτῷ βεβιῶσθαι.

3 Plut. de fluv. c. 21 ‖ 7 Arist. hist. an. 578ᵃ 18 sqq. ‖ ἐλ. ἔτη δύο τίκτειν λέγουσιν Sᵃ ‖ 11 ἀνανήψαντα Sᵃ, omisso ἔφησεν

ΜΗΧΑΝΙΚΑ.

τὸ δὲ Γ, οὗ τὸ Ζ, ὥστε ἡ δίχα διαιροῦσα τὸ ζυγὸν πρῶτον μὲν ἦν ἡ ΔΜ τῆς καθέτου αὐτῆς, ἐπικειμένης δὲ τῆς ῥοπῆς ἔσται ἡ ΔΘ· ὥστε τοῦ ζυγοῦ τοῦ ἐφ' οὗ ΕΖ τὸ ἔξω τῆς καθέτου τῆς ἐφ' ἧς ΑΜ, τῷ ἐν ᾧ ΘΠ, μεῖζον τοῦ ἡμίσεος. ἐὰν οὖν ἀφαιρεθῇ τὸ βάρος ἀπὸ τοῦ Ε, ἀνάγκη κάτω φέρεσθαι τὸ Ζ· ἔλαττον γάρ ἐστι τὸ Ε. ἐὰν μὲν οὖν ἄνω τὸ σπαρτίον ἔχῃ, πάλιν διὰ τοῦτο ἀναφέρεται τὸ ζυγόν. ἐὰν δὲ κάτωθεν ᾖ τὸ ὑποκείμενον, τοὐναντίον ποιεῖ· πλεῖον




γὰρ γίνεται τοῦ ἡμίσεος τοῦ ζυγοῦ τὸ κάτω μέρος ἢ ὡς ἡ κάθετος διαιρεῖ, ὥστε οὐκ ἀναφέρεται· κουφότερον γὰρ τὸ ἐπηρτημένον. ἔστω ζυγὸν τὸ ἐφ' οὗ ΝΞ, τὸ ὀρθόν, κάθετος δὲ ἡ ΚΛΜ. δίχα δὴ διαιρεῖται τὸ ΝΞ. ἐπιτεθέντος δὲ βάρους ἐπὶ τὸ Ν, ἔσται τὸ μὲν Ν, οὗ τὸ Ο, τὸ δὲ Ξ, οὗ

1 post τὸ Ζ add. ἔσται Par. *A* ‖ τὸν ζυγὸν Par. *A* ‖ 3 τοῦ ἐφ' οὗ Par. *A*: ἐφ' ᾧ *PW*a ‖ 4 *AM* Monantholius: δμ Par. *A*, αβ *PW*a ‖ τῷ ἐν ᾧ ΘΠ (ΘΠ recte iam Cappelle) μεῖζον τοῦ ἡμίσεος scripsi: μεῖζόν ἐστι τοῦ ἡμίσεος τοῦ ἐν ᾧ τὸ ϱ et in mg. τῷ ϑ μ Par. *A*, τοῦ ἐν ᾧ φπ, μείζω τοῦ ἡμίσεος *PW*a ‖ 6 Ε] ϱ *PW*a ‖ 11 ΝΞ] κξ *PW*a ‖ 12 δὴ] δεῖ *W*a ‖ νκξ *PW*a Par. *A*

μέγα βάρος ὑπὸ μικρᾶς ἰσχύος, καὶ ταῦτα μετὰ βάρους πλείονος· ὃ γὰρ ἄνευ μοχλοῦ κινεῖν οὐ δύναταί τις, τοῦτο ταὐτὸ βάρος, προσλαβὼν ἔτι τὸ τοῦ μοχλοῦ βάρος, κινεῖ θᾶττον. πάντων δὲ τῶν τοιούτων ἔχει τῆς αἰτίας τὴν ἀρχὴν ὁ κύκλος. καὶ τοῦτο εὐλόγως συμβέβηκεν· ἐκ μὲν γὰρ θαυμασιωτέρου συμβαίνειν τι θαυμαστὸν οὐδὲν ἄτοπον, θαυμασιώτατον δὲ τὸ τἀναντία γίνεσθαι μετ' ἀλλήλων. ὁ δὲ κύκλος συνέστηκεν ἐκ τοιούτων· εὐθὺς γὰρ ἐκ κινουμένου τε γεγένηται καὶ μένοντος, ὧν ἡ φύσις ἐστὶν ὑπεναντία ἀλλήλοις. ὥστ' ἐνταῦθα ἔστιν ἐπιβλέψασιν ἧττον θαυμάζειν τὰς συμβαινούσας ὑπεναντιώσεις περὶ αὐτόν. πρῶτον μὲν γὰρ τῇ περιεχούσῃ γραμμῇ τὸν κύκλον, πλάτος οὐθὲν ἐχούσῃ, τἀναντία πως προσεμφαίνεται, τὸ κοῖλον καὶ τὸ κυρτόν. ταῦτα δὲ διέστηκεν ἀλλήλων ὃν τρόπον τὸ μέγα καὶ τὸ μικρόν· ἐκείνων τε γὰρ μέσον τὸ ἴσον καὶ τούτων τὸ εὐθύ. διὸ μεταβάλλοντα εἰς ἄλληλα τὰ μὲν ἀναγκαῖον ἴσα γενέσθαι πρότερον ἢ τῶν ἄκρων ὁποτερονοῦν, τὴν δὲ γραμμὴν εὐθεῖαν, ὅταν ἐκ κυρτῆς εἰς κοίλην ἢ πάλιν ἐκ ταύτης γίνηται κυρτὴ καὶ περιφερής. ἓν μὲν οὖν τοῦτο τῶν ἀτόπων ὑπάρχει περὶ τὸν κύκλον, δεύτερον δὲ ὅτι ἅμα κινεῖται τὰς ἐναντίας κινήσεις· ἅμα γὰρ εἰς τὸν ἔμπροσθεν κινεῖται τόπον καὶ τὸν ὄπισθεν. ἥ τε γράφουσα γραμμὴ τὸν κύκλον ὡσαύτως ἔχει. ἐξ οὗ γὰρ ἄρχεται τόπου τὸ πέρας αὐτῆς, εἰς τὸν αὐτὸν τοῦτον τόπον ἔρχεται πάλιν· συνεχῶς γὰρ κινουμένης αὐτῆς τὸ ἔσχατον πάλιν ἀπῆλθε πρῶτον, ὥστε καὶ φανερόν, ὅτι μετέβαλεν ἐντεῦθεν. διό,

2 *τοῦτ' αὐτὸ τὸ W*ª Par. *A* ‖ 6 *συμβαίνει τι θαυμαστικὸν W*ª ‖ 7 *σὺν ἀλλήλοις P*, utramque lectionem exhibet Par. *A* ‖ 9 *καὶ*] *ἐμ W*ª ‖ 14 *διέστηκεν ἀλλήλων*] Par. *A* in mg. *τῷ λόγῳ εἰ καὶ μὴ τῷ τόπῳ* ‖ *τρόπον καὶ* Par. *A* ‖ 16 *ἀναγκαῖ*ον/α Par. *A* ‖ 17 *ὁποτεροῦν P W*ª ‖ 18 *κοῖλον P* ‖ 19 *γίνηται* Bekker: *γίνεται* codd. ‖ *οὖν* om. *W*ª ‖ 20 *κύκλον* om. *P W*ª ‖ 22 *καὶ*] *καὶ εἰς W*ª ‖ *24 τόπον ἔρχεται*] ἔρχεται τόπον P, ἔρχεται Par. A

καθάπερ εἴρηται πρότερον, οὐδὲν ἄτοπον τὸ πάντων εἶναι τῶν θαυμάτων αὐτὸν ἀρχήν. τὰ μὲν οὖν περὶ τὸν ζυγὸν γινόμενα εἰς τὸν κύκλον ἀνάγεται, τὰ δὲ περὶ τὸν μοχλὸν εἰς τὸν ζυγόν, τὰ δ' ἄλλα πάντα σχεδὸν τὰ περὶ τὰς κινήσεις τὰς μηχανικὰς εἰς τὸν μοχλόν. ἔτι δὲ διὰ τὸ μιᾶς οὔσης τῆς ἐκ τοῦ κέντρου γραμμῆς μηθὲν ἕτερον ἑτέρῳ φέρεσθαι τῶν σημείων τῶν ἐν αὐτῇ ἰσοταχῶς, ἀλλ' ἀεὶ τὸ τοῦ μένοντος πέρατος πορρώτερον ὂν θᾶττον, πολλὰ τῶν θαυμαζομένων συμβαίνει περὶ τὰς κινήσεις τῶν κύκλων· περὶ ὧν ἐν τοῖς ἑπομένοις προβλήμασιν ἔσται δῆλον. διὰ δὲ τὸ τὰς ἐναντίας κινήσεις ἅμα κινεῖσθαι τὸν κύκλον, καὶ τὸ μὲν ἕτερον τῆς διαμέτρου τῶν ἄκρων, ἐφ' οὗ τὸ *A*, εἰς τοὔμπροσθεν κινεῖσθαι, θάτερον δέ, ἐφ' οὗ τὸ *B*, εἰς τοὔπισθεν, κατασκευάζουσί τινες ὥστ' ἀπὸ μιᾶς κινήσεως πολλοὺς ὑπεναντίους ἅμα κινεῖσθαι κύκλους, ὥσπερ οὓς ἀνατιθέασιν ἐν τοῖς ἱεροῖς ποιήσαντες τροχίσκους χαλκοῦς τε καὶ σιδηροῦς. εἰ γὰρ εἴη τοῦ *AB* κύκλου ἁπτόμενος ἕτερος



κύκλος ἐφ' οὗ *ΓΔ*, τοῦ κύκλου τοῦ ἐφ' οὗ *AB* κινουμένης τῆς διαμέτρου εἰς τοὔμπροσθεν, κινηθήσεται ἡ *ΓΔ* εἰς τοὔπισθεν τοῦ κύκλου τοῦ ἐφ' οὗ *AB*, κινουμένης τῆς διαμέτρου περὶ τὸ αὐτό. εἰς τοὐναντίον ἄρα κινηθήσεται ὁ ἐφ' οὗ *ΓΔ* κύκλος τῷ ἐφ' οὗ τὸ *AB*· καὶ πάλιν αὐτὸς τὸν


5 διὰ μὲν τὸ Par. *A* ‖ 11 καὶ om. *PW*ᵃ ‖ 12 τὸν *W*ᵃ ¦ 15 ὑπεναντίως *W*ᵃ Par. *A* ‖ 17 τοῦ ἐφ' οὗ αβ Par. *A* ‖ 18 τοῦ ante ἐφ' add. Par. *A* ‖ 20 ἐφ' ὧ α *P*, ἐφ' οὗ α Wᵃ ‖ 21 ὁ (δ) ἐφ' οὗ Par. *A*: ἐφ' οὗ δ *PW*ᵃ ‖ 22 ὧ PWᵃ

ἐφεξῆς, ἐφ' οὗ ΕΖ, εἰς τοὐναντίον αὐτῷ κινήσει διὰ τὴν αὐτὴν αἰτίαν. τὸν αὐτὸν δὲ τρόπον κἂν πλείους ὦσι, τοῦτο ποιήσουσιν ἑνὸς μόνου κινηθέντος. ταύτην οὖν λαβόντες ὑπάρχουσαν ἐν τῷ κύκλῳ τὴν φύσιν οἱ δημιουργοὶ κατασκευάζουσιν ὄργανον κρύπτοντες τὴν ἀρχήν, ὅπως ᾖ τοῦ μηχανήματος φανερὸν μόνον τὸ θαυμαστόν, τὸ δ' αἴτιον ἄδηλον.

1 Πρῶτον μὲν οὖν τὰ συμβαίνοντα περὶ τὸν ζυγὸν ἀπο- 84
ρεῖται, διὰ τίνα αἰτίαν ἀκριβέστερά ἐστι τὰ ζυγὰ τὰ μείζω τῶν ἐλαττόνων. τούτου δὲ ἀρχή, διὰ τί ποτε ἐν τῷ κύκλῳ ἡ πλεῖον ἀφεστηκυῖα γραμμὴ τοῦ κέντρου τῆς ἐγγὺς τῇ αὐτῇ ἰσχύϊ κινουμένης θᾶττον φέρεται τῆς ἐλάττονος; τὸ γὰρ θᾶττον λέγεται διχῶς· ἄν τε γὰρ ἐν ἐλάττονι χρόνῳ ἴσον τόπον διεξέλθῃ, θᾶττον εἶναι λέγομεν, καὶ ἐὰν ἐν ἴσῳ πλείω. ἡ δὲ μείζων ἐν ἴσῳ χρόνῳ γράφει μείζονα κύκλον· ὁ γὰρ ἐκτὸς μείζων τοῦ ἐντός. αἴτιον δὲ τούτων ὅτι φέρεται δύο φορὰς ἡ γράφουσα τὸν κύκλον. ὅταν μὲν οὖν ἐν λόγῳ τινὶ φέρηται, ἐπ' εὐθείας ἀνάγκη φέρεσθαι τὸ φερόμενον, καὶ γίνεται διάμετρος αὐτὴ τοῦ σχήματος ὃ ποιοῦσιν αἱ ἐν τούτῳ τῷ λόγῳ συντεθεῖσαι γραμμαί. ἔστω γὰρ ὁ λόγος, ὃν φέρεται τὸ φερόμενον, ὃν ἔχει ἡ ΑΒ πρὸς τὴν ΑΓ· καὶ τὸ μὲν ΑΓ φερέσθω πρὸς τὸ Β, ἡ δὲ ΑΒ ὑποφερέσθω πρὸς τὴν ΗΓ· ἐνηνέχθω δὲ τὸ μὲν Α πρὸς τὸ Δ, ἡ δὲ ἐφ' ᾗ ΑΒ πρὸς τὸ Ε. εἰ οὖν ἐπὶ τῆς φορᾶς ὁ λόγος ἦν, ὃν ἡ ΑΒ ἔχει πρὸς τὴν ΑΓ, ἀνάγκη καὶ τὴν ΑΔ πρὸς τὴν ΑΕ τοῦτον ἔχειν τὸν λόγον. ὅμοιον ἄρα ἐστὶ τῷ λόγῳ

1 ὦ PW^a ‖ pro διὰ τὴν αὐτὴν αἰτίαν in Par. *A* leguntur haecce: διὰ τὸ τῆς διαμέτρου τὸ ἕτερον πέρας εἰς τὸ ἔμπροσθεν κινεῖσθαι· τὸ δὲ ἕτερον εἰς τὸ ὄπισθεν. Sed in mg. διὰ τὴν αὐτὴν ταύτην αἰτίαν ‖ 11 κέντρου] κ̄ PW^a ‖ 13 ἐν om. PW^a ‖ 15 δὲ μεῖζον *P* ‖ 16 τού$^{των}_{του}$ Par. *A* ‖ 20 αἱ om. *P* ‖ 22 μὲν ΑΓ] μὲν α PW^a ‖ 23 ΗΓ] βγ PW^a, γδ Par. *A* ‖ 24 ἧς Par. *A* ‖ Ε] ἐκ Par. *A* ‖ εἰ] οὐκ PW^a ‖ 26 τὴν ΑΕ] δὲ PW^a


τὸ μικρὸν τετράπλευρον τῷ μείζονι, ὥστε καὶ ἡ αὐτὴ διάμετρος αὐτῶν, καὶ τὸ Α ἔσται πρὸς τὸ Ζ. τὸν αὐτὸν δὴ τρόπον δειχθήσεται κἂν ὁπουοῦν διαληφθῇ ἡ φορά· ἀεὶ γὰρ ἔσται ἐπὶ τῆς διαμέτρου. φανερὸν οὖν ὅτι τὸ κατὰ τὴν διά-



μετρον φερόμενον ἐν δύο φοραῖς ἀνάγκη τὸν τῶν πλευρῶν φέρεσθαι λόγον. εἰ γὰρ ἄλλον τινά, οὐκ οἰσθήσεται κατὰ τὴν διάμετρον. ἐὰν δὲ ἐν μηδενὶ λόγῳ φέρηται δύο φορὰς κατὰ μηδένα χρόνον, ἀδύνατον εὐθεῖαν εἶναι τὴν φοράν. ἔστω γὰρ εὐθεῖα. τεθείσης οὖν ταύτης διαμέτρου, καὶ παραπληρωθεισῶν τῶν πλευρῶν, ἀνάγκη τὸν τῶν πλευρῶν λόγον φέρεσθαι τὸ φερόμενον· τοῦτο γὰρ δέδεικται πρότερον. οὐκ ἄρα ποιήσει εὐθεῖαν τὸ ἐν μηδενὶ λόγῳ φερόμενον μηδένα χρόνον. ἐὰν γάρ τινα χρόνον ἐνεχθῇ ἐν λόγῳ τινί, τοῦτον ἀνάγκη τὸν χρόνον εὐθεῖαν εἶναι φορὰν διὰ τὰ προειρημένα. ὥστε περιφερὲς γίνεται, δύο φερόμενον φορὰς ἐν μηθενὶ λόγῳ μηθένα χρόνον. ὅτι μὲν τοίνυν ἡ τὸν κύκλον γράφουσα φέρεται δύο φορὰς ἅμα, φανερὸν ἔκ τε τούτων, καὶ
849ᵃ *ὅτι τὸ φερόμενον κατ᾽ εὐθεῖαν ἐπὶ τὴν κάθετον ἀφικνεῖται,*

1 *τῷ μείζονι* et *καὶ* om. *PWᵃ* ‖ 2 *Α*] *δ Wᵃ* Par. *A* ‖ *τὸ* ante Z add. Par. *A* ‖ *δὴ*] *οὖν Wᵃ* Par. *A* ‖ 5 *πλειόνων PWᵃ* ‖ 6 *οἰδήσεται Wᵃ* ‖ 11 *ταῦτα Wᵃ* ‖ 12 *τῶ Wᵃ* ‖ 13 *τινα χρόνον* Cappelle cum Par. *B*: *τινα λόγον* ceteri ‖ *λόγῳ* (*λόγω*) *PWᵃ*: *χρόνῳ* Par. *A* ‖ 14 *προειρημένα πρότερον. ὥστε P* ‖ 15 *γίνεται τὸ* Par. *A* ‖ 18 *τὸ φερόμενον κατ᾽ εὐθεῖαν*] *τὸ μὲν φερόμενον ἐπ᾽/κατ᾽ εὐθεῖαν* Par. *A*, *φερόμενον κατ᾽ εὐθεῖαν* PWᵃ, ἢ φερο-


ὥστε εἶναι πάλιν αὐτὴν ἀπὸ τοῦ κέντρου κάθετον. ἔστω κύκλος ὁ ΑΒΓ, τὸ δ' ἄκρον τὸ ἐφ' οὗ Β φερέσθω ἐπὶ τὸ



Δ· ἀφικνεῖται δέ ποτε ἐπὶ τὸ Γ. εἰ μὲν οὖν ἐν τῷ λόγῳ ἐφέρετο, ὃν ἔχει ἡ ΒΔ πρὸς τὴν ΔΓ, ἐφέρετο ἂν τὴν διάμετρον τὴν ἐφ' ᾗ ΒΓ. νῦν δέ, ἐπείπερ ἐν οὐδενὶ λόγῳ, ἐπὶ τὴν περιφέρειαν φέρεται τὴν ἐφ' ᾗ ΒΕΓ. ἐὰν δὲ δυοῖν φερομένοιν ἀπὸ τῆς αὐτῆς ἰσχύος τὸ μὲν ἐκκρούοιτο πλεῖον, τὸ δὲ ἔλαττον, εὔλογον βραδύτερον κινηθῆναι τὸ πλεῖον ἐκκρουόμενον τοῦ ἔλαττον ἐκκρουομένου· ὃ δοκεῖ συμβαίνειν ἐπὶ τῆς μείζονος καὶ ἐλάττονος τῶν ἐκ τοῦ κέντρου γραφουσῶν τοὺς κύκλους. διὰ γὰρ τὸ ἐγγύτερον εἶναι τοῦ μένοντος τῆς ἐλάττονος τὸ ἄκρον ἢ τὸ τῆς μείζονος, ὥσπερ ἀντισπώμενον εἰς τοὐναντίον, ἐπὶ τὸ μέσον βραδύτερον φέρεται τὸ τῆς ἐλάττονος ἄκρον. πάσῃ μὲν οὖν κύκλον γραφούσῃ τοῦτο συμβαίνει, καὶ φέρεται κατὰ τὴν περιφέρειαν, τὴν μὲν κατὰ φύσιν εἰς τὸ πλάγιον, τὴν δὲ παρὰ φύσιν εἰς τὸ κέντρον. μείζω δ' ἀεὶ τὴν παρὰ φύσιν ἡ ἐλάττων φέρεται· διὰ γὰρ τὸ ἐγγύτερον εἶναι τοῦ κέντρου τοῦ ἀντισπῶντος κρατεῖται μᾶλλον. ὅτι δὲ μεῖζον τὸ παρὰ φύσιν κινεῖται ἡ ἐλάττων τῆς μείζονος τῶν ἐκ τοῦ κέντρου γραφουσῶν τοὺς κύκλους, ἐκ τῶνδε δῆλον. ἔστω κύκλος, ἐφ' οὗ ΒΓΕΔ, καὶ ἄλλος ἐν τούτῳ ἐλάττων, ἐφ'

μένη κατὰ τὴν περιφέρειων vel μὴ φερομένη κατ' εὐθεῖαν Sylburg. Locus nondum in integrum restitutus ‖ 3 που W^a ‖ 5 ἡ β̅ε̅ ε̅γ̅ ἐφέρετο PW^a ‖ 6 ἧς Par. A ‖ 7 ἐπεὶ W^a ‖ 8 φέρηται P ‖ βδγ Par. A ‖ 11 βραδυτέραν W^a ‖ 17 μέσον τὸ μὲν βραδύτερον PW^a ‖ 18 κύκλω P ‖ φέρεται — 20 κέντρον Cappelle: φέρεται τὴν μὲν κατὰ φύσιν κατὰ τὴν περιφέρειαν, τὴν δὲ παρὰ φύσιν εἰς τὸ πλάγιον καὶ τὸ κέντρον codd. ‖ 21 ἢ ἐλάττω PW^a ‖ τὸ γὰρ P ‖ τοῦ μένοντος κέντρου Par. A ‖ 22 τοῦ] τοῦ καὶ Par. A ‖ 25 βγδε PW^a

οὗ *ΧΝΜΞ*, περὶ τὸ αὐτὸ κέντρον τὸ *Α*· καὶ ἐκβεβλήσθωσαν αἱ διάμετροι, ἐν μὲν τῷ μεγάλῳ, ἐφ' ὧν *ΓΔ* καὶ *ΒΕ*, ἐν δὲ τῷ ἐλάττονι αἱ *ΜΧ ΝΞ*· καὶ τὸ ἑτερόμηκες παραπεπληρώσθω, τὸ *ΔΨΡΓ*. εἰ δὴ ἡ *ΑΒ* γράφουσα κύκλον ἥξει



ἐπὶ τὸ αὐτὸ, ὅθεν ὡρμήθη, ἐπὶ τὴν *ΑΒ*, δῆλον ὅτι φέρεται πρὸς αὐτήν. ὁμοίως δὲ καὶ ἡ *ΑΧ* πρὸς τὴν *ΑΧ* ἥξει. βραδύτερον δὲ φέρεται ἡ *ΑΧ* τῆς *ΑΒ*, ὥσπερ εἴρηται, διὰ τὸ γίνεσθαι μείζονα τὴν ἔκκρουσιν καὶ ἀντισπᾶσθαι μᾶλλον τὴν *ΑΧ*. ἤχθω δὲ ἡ *ΑΘΗ*, καὶ ἀπὸ τοῦ *Θ* κάθετος· ἐπὶ τὴν *ΑΒ* ἡ *ΘΖ* ἐν τῷ κύκλῳ, καὶ πάλιν ἀπὸ τοῦ *Θ* ἤχθω παρὰ τὴν *ΑΒ* ἡ *ΘΩ*, καὶ ἡ *ΩΥ* ἐπὶ τὴν *ΑΒ* κάθετος, καὶ ἡ *ΗΚ*. αἱ δὴ ἐφ' ὧν *ΩΥ* καὶ *ΘΖ* ἴσαι. ἡ ἄρα *ΒΥ*

1 τὸ *Α* om. *P* W^a ‖ 2 μεγάλῳ] μείζονι mg. Par. *A* ‖ 5 αβ Par. *A*: αε *P* W^a ‖ 6 αὐτήν Par. *A* ‖ 7 ἡ *ΑΧ* — εἴρηται om. W^a ‖ 9 ἡ *ΑΘΗ*] καὶ ηα Par. *A* ‖ 10 ἐν τῷ κύκλῳ] ἐν ἐλάττονι κύκλῳ Leonicenus ‖ ἀπὸ] γὰρ Par. *A* ‖ 11 τὴν] τὸ W^a ‖ ἐπὶ τὴν *ΑΒ* κάθετος Cappelle cum Leidensi: κάθετος ἐπὶ τὴν αβ Par. A, ἐπὶ τὴν αβ κάθετον *P* W^a ‖ 12 ἡ] αἱ P W^a

ἐλάττων τῆς ΧΖ· αἱ γὰρ ἴσαι εὐθεῖαι ἐπ' ἀνίσους κύκλους ἐμβληθεῖσαι πρὸς ὀρθὰς τῇ διαμέτρῳ ἔλαττον τμῆμα ἀποτέμνουσι τῆς διαμέτρου ἐν τοῖς μείζοσι κύκλοις, ἔστι δὲ ἡ ΩΥ ἴση τῇ ΘΖ. ἐν ὅσῳ δὴ χρόνῳ ἡ ΑΘ τὴν ΧΘ ἠνέχθη, 84 ἐν τοσούτῳ χρόνῳ ἐν τῷ κύκλῳ τῷ μείζονι μείζονα τῆς ΒΩ ἐνήνεκται τὸ ἄκρον τῆς ΒΑ. ἡ μὲν γὰρ κατὰ φύσιν φορὰ ἴση, ἡ δὲ παρὰ φύσιν ἐλάττων· ἡ δὲ ΒΥ τῆς ΖΧ ἐλάττων. δεῖ δὲ ἀνάλογον εἶναι, ὡς τὸ κατὰ φύσιν πρὸς τὸ κατὰ φύσιν, τὸ παρὰ φύσιν πρὸς τὸ παρὰ φύσιν. μείζονα ἄρα περιφέρειαν διελήλυθε τὴν ΗΒ τῆς ΩΒ. ἀνάγκη δὲ τὴν ΗΒ ἐν τούτῳ τῷ χρόνῳ διεληλυθέναι· ἐνταῦθα γὰρ ἔσται, ὅταν ἀνάλογον ἀμφοτέρως συμβαίνῃ τὸ παρὰ φύσιν πρὸς τὸ κατὰ φύσιν. εἰ δὴ μεῖζόν ἐστι τὸ κατὰ φύσιν ἐν τῷ μείζονι, καὶ τὸ παρὰ φύσιν μᾶλλον ἂν ἐνταῦθα συμπίπτοι μοναχῶς, ὥστε τὸ Β ἐνηνέχθαι ἂν τὴν ΒΗ, ἐν ᾧ τὸ ἐφ' οὗ Χ σημεῖον τὴν ΧΘ. ἐνταῦθα γὰρ κατὰ φύσιν μὲν γίνεται τὸ Β σημεῖον ἐς τὸ Η· παρὰ φύσιν δὲ ἐς τὸ Κ. ἔστι γὰρ ἡ ΗΚ ἀπὸ τοῦ Η κάθετος. ἔστι δὲ ὡς τὸ ΗΚ πρὸς


1 *ΧΖ*] *χε PW*a, *W*a additis *ἴσως ὀφείλει χζ* ‖ post *ΧΖ* Par. *A* haec: *προσυπακουστέον ὅταν ἴση ᾖ ἡ κατὰ φύσιν τῆς ἐλάττονος τῇ κατὰ φύσιν τῆς μείζονος· ἐπεὶ ἐνδέχεται πότε, μείζονος οὔσης τῆς κατὰ φύσιν ἐν τῇ μείζονι, μείζω καὶ τὴν παρὰ φύσιν εἶναι, ὡς ἐπὶ τῆς μιᾶς καὶ αὐτῆς συνεχοῦς οὔσης τῆς γραφούσης τὸν κύκλον. ὡς καὶ αὐτὸς προϊὼν ἐν τῇ καταγραφῇ τοῦ θεωρήματος δείκνυσι, τοῦτο ἐπισημαίνομεν ς ἐν τῷ λέγειν· εἰ δὴ μείζων ἐστὶ τὸ κατὰ φύσιν ἐν τῷ μείζονι, καὶ τὸ παρὰ φύσιν μεῖζον ἂν ἐνταῦθα συμπίπτοι μοναχῶς·* quae, ut certe sunt scholiastae cuiusdam, ita subductis etiam lineolis a reliquo textu distinxit librarius ‖ *κύκλουν W*a ‖ 2 *ὀρ . . . τῇ P* ‖ 5 *τῷ μείζονι* om. *P* ‖ 8 *ἐλάττων* add. Par. *A* in mg. ‖ *τὸ* et 9 *τὸ παρὰ φύσιν — φύσιν* om. *W*a ‖ 12 *ἀμφοτέροις* malebat Sylburg ‖ *συμβαίνειν W*a ‖ 14 *τῷ* Par. *A*: *τῇ PW*a ‖ *μᾶλλον*] *μεῖζον* Cappelle; sed, ni fallor, scribendum *ἀνάλογον* ‖ 15 *ἐν ᾧ* — 16 *ΧΘ* Cappelle: *ἐν τ . . . ἐφ' οὗ Χ σημεῖον PW*a, *ἐν ᾧ τὸ ἐφ' οὗ κ σημεῖον τὴν βυ* Par. *A* ‖ 17 *γίνεται* — 18 *κάθετος* Cappelle cum Par. *A*: *γίνεται τῷ β σημείῳ τὸ κέντρον· ἔστι γὰρ αὐτὴ ἀπὸ τοῦ η κάθετος· παρὰ φύσιν δὲ ἐς τὸ κβ PW*a ‖ 18 *ὡς τὸ ΗΚ*] *ὡς ἡ ηκ* Par. *A*, *ὡς ηκ W*a ‖ *πρὸς τὴν κβ, ἡ*

τὸ ΚΒ, τὸ ΘΖ πρὸς τὸ ΖΧ. φανερὸν δέ, ἐὰν ἐπιζευχθῶσιν ἀπὸ τῶν ΒΧ ἐπὶ τὰ ΗΘ. εἰ δὲ ἐλάττων ἢ μείζων τῆς ΗΒ ἔσται, ἣν ἠνέχθη τὸ Β, οὐχ ὁμοίως ἔσται οὐδὲ ἀνάλογον ἐν ἀμφοῖν τὸ κατὰ φύσιν πρὸς τὸ παρὰ φύσιν. δι' ἣν μὲν τοίνυν αἰτίαν ἀπὸ τῆς αὐτῆς ἰσχύος φέρεται θᾶττον τὸ πλέον ἀπέχον τοῦ κέντρου σημεῖον καὶ μείζονα γράφει ἡ μείζων, δῆλον διὰ τῶν εἰρημένων· διότι δὲ τὰ μὲν μείζω ζυγὰ ἀκριβέστερά ἐστι τῶν ἐλαττόνων, φανερὸν ἐκ τούτων. γίνεται γὰρ τὸ μὲν σπάρτον κέντρον (μένει γὰρ τοῦτο), τὸ δὲ ἐπὶ ἑκάτερον μέρος τῆς πλάστιγγος αἱ ἐκ τοῦ κέντρου. ἀπὸ οὖν τοῦ αὐτοῦ βάρους ἀνάγκη θᾶττον κινεῖσθαι τὸ ἄκρον τῆς πλάστιγγος, ὅσῳ ἂν πλεῖον ἀπέχῃ τοῦ σπάρτου, καὶ ἔνια μὲν μὴ δῆλα εἶναι ἐν τοῖς μικροῖς ζυγοῖς πρὸς τὴν αἴσθησιν ἐπιτιθέμενα βάρη, ἐν δὲ τοῖς μεγάλοις δῆλα· οὐθὲν γὰρ κωλύει ἔλαττον κινηθῆναι μέγεθος ἢ ὥστε εἶναι τῇ ὄψει φανερόν. ἐπὶ δὲ τῆς μεγάλης πλάστιγγος ποιεῖ ὁρατὸν τὸ αὐτὸ βάρος μέγεθος. ἔνια δὲ δῆλα μὲν ἐπ' ἀμφοῖν ἐστίν, ἀλλὰ πολλῷ μᾶλλον ἐπὶ τῶν μειζόνων διὰ τὸ πολλῷ μεῖζον γίνεσθαι τὸ μέγεθος τῆς ῥοπῆς ὑπὸ τοῦ αὐτοῦ βάρους ἐν τοῖς μείζοσι. καὶ διὰ τοῦτο τεχνάζουσιν οἱ ἁλουργοπῶλαι πρὸς τὸ παρακρούεσθαι ἱστάντες, τό τε σπάρτον οὐκ ἐν μέσῳ τιθέντες, καὶ μόλυβδον τῆς φάλαγγος εἰς θάτερον μέρος ἐγχέοντες, ἢ τοῦ ξύλου τὸ πρὸς τὴν ῥίζαν πρὸς ὃ βούλονται ῥέπειν ποιοῦντες, ἢ ἐὰν ἔχῃ ὄζον· βαρύ-

θζ πρὸς τὴν ζχ Par. *A* ‖ 2 ἀπὸ] αἱ ἀπὸ Par. *A* ‖ ἢ Par. *A*, Cappelle: ἡ *P* W^a ‖ 3 ἣν add. cum Par. *A* Cappelle, ut iam olim legendum coniecerat Leonicenus ‖ 4 τὸ κατὰ φύσιν] κατὰ φορὰν *P* ‖ 6 καὶ μείζονα γράφει ἡ μείζων Par. *A*, Cappelle: καὶ μ γράφει ἡ μείζων *P*, item W^a, omisso in lacuna μ, om. Bekker ‖ 7 δὲ et μὲν om. *P* ‖ 11 τοῦ οὖν *P* W^a Par. *A* ‖ 14 αἴσθησιν τὰ ἐπιτ. *P* W^a Par. *A* ‖ 15 κινηθῇ *P*, κινεῖσθαι W^a Par. *A*, sed Par. *A* in mg. κινηθῆναι ‖ 21 τῷ *P* ‖ τό] τάς W^a ‖ 22 μόλιβδον *P* W^a ‖ 23 ἐκχέοντες W^a ‖ τὸ om. *P* ‖ 24 ἔχει W^a

τερον γὰρ ἐν ᾧ μέρος ἡ ῥίζα τοῦ ξύλου ἐστίν, ὁ δὲ ὄζος ῥίζα τίς ἐστιν.


2 *Διὰ τί, ἐὰν μὲν ἄνωθεν ᾖ τὸ σπαρτίον, ὅταν κάτωθεν ῥέψαντος ἀφέλῃ ⟨τις⟩ τὸ βάρος, πάλιν ἀναφέρεται τὸ ζυγόν, ἐὰν δὲ κάτωθεν ὑποστῇ, οὐκ ἀναφέρεται ἀλλὰ μένει; ἢ διότι ἄνωθεν μὲν τοῦ σπαρτίου ὄντος πλεῖον τοῦ ζυγοῦ γίνεται τὸ ἐπέκεινα τῆς καθέτου; τὸ γὰρ σπαρτίον ἐστὶ κάθετος. ὥστε ἀνάγκη ἐστὶ κάτω ῥέπειν τὸ πλέον, ἕως ἂν ἔλθῃ ἡ δίχα διαιροῦσα τὸ ζυγὸν ἐπὶ τὴν κάθετον αὐτήν, ἐπικειμένου τοῦ βάρους ἐν τῷ ἀνεσπασμένῳ μορίῳ τοῦ ζυγοῦ. ἔστω*



ζυγὸν ὀρθὸν, ἐφ' οὗ ΒΓ, σπαρτίον δὲ τὸ ΑΔ. ἐκβαλλόμενον δὴ τοῦτο κάτω κάθετος ἔσται, ἐφ' ἧς ἡ ΑΔΜ. ἐὰν οὖν ἐπὶ τὸ Β ἡ ῥοπὴ ἐπιτεθῇ, ἔσται τὸ μὲν Β, οὗ τὸ Ε,

1 *μέρος ἐν ᾧ* malebat Cappelle ‖ 3 *διὰ τί κ. τ. λ.* Hic demum in Par. *A* primi capitis nota est, 850ᵃ 30 alterius, et sic deinceps ‖ 4 *τις* add. Cappelle ('quando *quispiam* id amovet' Leonicenus). an *ἀφεθῇ*? ‖ 5 *ὑποστήσῃ* Par. *A* ‖ 9 *τὸ*] *τὸν* Par. *A* ‖ 11 *ἐφ'*] *τὸ ἐφ'* Wᵃ Par. *A* ‖ *ΑΔ*] *αβ* Wᵃ ‖ *ἐκβαλλομένου δὴ τούτου* Leonicenus ‖ 12 *ἐφ' ἧς δμ* Par. *A* ‖ 13 *ἐπιτεθῇ ἔσται* Bekker, dubium an ex codice aliquo: *ἐπιτεθείσεται P*, *ἐπιτεθήσεται* Wᵃ Par. *A*

τὸ δὲ Γ, οὗ τὸ Ζ, ὥστε ἡ δίχα διαιροῦσα τὸ ζυγὸν πρῶτον μὲν ἦν ἡ ΔΜ τῆς καθέτου αὐτῆς, ἐπικειμένης δὲ τῆς ῥοπῆς ἔσται ἡ ΔΘ· ὥστε τοῦ ζυγοῦ τοῦ ἐφ' οὗ ΕΖ τὸ ἔξω τῆς καθέτου τῆς ἐφ' ἧς ΑΜ, τῷ ἐν ᾧ ΘΠ, μεῖζον τοῦ ἡμίσεος. ἐὰν οὖν ἀφαιρεθῇ τὸ βάρος ἀπὸ τοῦ Ε, ἀνάγκη κάτω φέρεσθαι τὸ Ζ· ἔλαττον γάρ ἐστι τὸ Ε. ἐὰν μὲν οὖν ἄνω τὸ σπαρτίον ἔχῃ, πάλιν διὰ τοῦτο ἀναφέρεται τὸ ζυγόν. ἐὰν δὲ κάτωθεν ᾖ τὸ ὑποκείμενον, τοὐναντίον ποιεῖ· πλεῖον




γὰρ γίνεται τοῦ ἡμίσεος τοῦ ζυγοῦ τὸ κάτω μέρος ἢ ὡς ἡ κάθετος διαιρεῖ, ὥστε οὐκ ἀναφέρεται· κουφότερον γὰρ τὸ ἐπηρτημένον. ἔστω ζυγὸν τὸ ἐφ' οὗ ΝΞ, τὸ ὀρθόν, κάθετος δὲ ἡ ΚΛΜ. δίχα δὴ διαιρεῖται τὸ ΝΞ. ἐπιτεθέντος δὲ βάρους ἐπὶ τὸ Ν, ἔσται τὸ μὲν Ν, οὗ τὸ Ο, τὸ δὲ Ξ, οὗ

1 post τὸ Ζ add. ἔσται Par. A ‖ τὸν ζυγὸν Par. A ‖ 3 τοῦ ἐφ' οὗ Par. A: ἐφ' ᾧ PW^{a} ‖ 4 ΑΜ Monantholius: δμ Par. A, αβ PW^{a} ‖ τῷ ἐν ᾧ ΘΠ (ΘΠ recte iam Cappelle) μεῖζον τοῦ ἡμίσεος scripsi: μεῖζόν ἐστι τοῦ ἡμίσεος τοῦ ἐν ᾧ τὸ ρ et in mg. τῷ θμ Par. A, τοῦ ἐν ᾧ φπ, μείζω τοῦ ἡμίσεος PW^{a} ‖ 6 Ε] ρ PW^{a} ‖ 11 ΝΞ] κξ PW^{a} ‖ 12 δὴ] δεῖ W^{a} ‖ νκξ PW^{a} Par. A

τὸ Ρ, ἡ δὲ ΚΛ οὗ τὸ ΛΘ, ὥστε μεῖζόν ἐστι τὸ ΚΟ τοῦ ΛΡ τῷ ΘΚΛ. καὶ ἀφαιρεθέντος οὖν τοῦ βάρους ἀνάγκη μένειν· ἐπίκειται γὰρ ὥσπερ βάρος ἡ ὑπεροχὴ ἡ τοῦ ἡμίσεος τοῦ ἐν ᾧ τὸ Κ.

3 Διὰ τί κινοῦσι μεγάλα βάρη μικραὶ δυνάμεις τῷ μοχλῷ, ὥσπερ ἐλέχθη καὶ κατ' ἀρχήν, προσλαβόντι βάρος ἔτι τὸ τοῦ μοχλοῦ; ῥᾷον δὲ τὸ ἔλαττόν ἐστι κινῆσαι βάρος, ἔλαττον δέ ἐστιν ἄνευ τοῦ μοχλοῦ. ἢ ὅτι αἴτιόν ἐστιν ὁ μοχλός, ζυγὸν ὢν κάτωθεν ἔχον τὸ σπαρτίον καὶ εἰς ἄνισα διῃρημένον; τὸ γὰρ ὑπομόχλιον ἀντὶ σπαρτίου γίνεται· μένει γὰρ ἄμφω ταῦτα, ὥσπερ τὸ κέντρον. ἐπεὶ δὲ θᾶττον ὑπὸ τοῦ ἴσου βάρους κινεῖται ἡ μείζων τῶν ἐκ τοῦ κέντρου, ἔστι δὲ τρία τὰ περὶ τὸν μοχλόν, τὸ μὲν ὑπομόχλιον, σπαρτίον καὶ κέντρον, δύο δὲ βάρη, ὅ τε κινῶν καὶ τὸ κινούμενον· ὃ οὖν τὸ κινούμενον βάρος πρὸς τὸ κινοῦν, τὸ μῆκος πρὸς τὸ μῆκος ἀντιπέπονθεν. αἰεὶ δὲ ὅσῳ ἂν μεῖζον ἀφεστήκῃ τοῦ ὑπομοχλίου, ῥᾷον κινήσει. αἰτία δέ ἐστιν ἡ προλεχθεῖσα, ὅτι ἡ πλεῖον ἀπέχουσα ἐκ τοῦ κέντρου μείζονα κύκλον γράφει.



2 τῷ] τοῦ *PW*ª ‖ ΘΚΛ] θκ Par. *A* ‖ 3 ἐπεὶ κεῖται γὰρ *PW*ª ‖ 4 τὸ χ *P* Par. *A*, τοῦ χ *W*ª ‖ 6 ἀρχάς *W*ª ‖ προσλαμβάνοντες *P* et mg. Par. *A*, προσλαβόντες Par. *A* ‖ 7 ῥᾷον Bekker: ῥάδιον codd. ‖ 9 ὢν om. *PW*ª ‖ ἔχων *PW*ª ‖ 10 ἀντὶ σπαρτίου γίνεται et in mg. ὅν ἐστι τὸ σπαρτίον Par. *A*, τί σπαρτίου γίνεται *P* ‖ 13 σπαρτίον Par. *A*: σπάρτον *PW*ª ‖ 14 τό τε κινοῦν Par. *A* ‖ 16 ἀφεστήκῃ Bekker: ἀφεστήκοι codd. ‖ 17 αἴτιον *W*ª

ὥστε ἀπὸ τῆς αὐτῆς ἰσχύος πλέον μεταστήσεται τὸ κινοῦν τὸ πλεῖον τοῦ ὑπομοχλίου ἀπέχον. ἔστω μοχλὸς, ἐφ' οὗ ΑΒ, βάρος δὲ, ἐφ' ᾧ τὸ Γ, τὸ δὲ κινοῦν, ἐφ' ᾧ τὸ Δ, ὑπομόχλιον, ἐφ' ᾧ τὸ Ε, τὸ δὲ ἐφ' ᾧ τὸ Δ κινῆσαν, ἐφ' ᾧ τὸ Η, κινούμενον δὲ τὸ ἐφ' οὗ Γ, βάρος, ἐφ' οὗ Κ.

Διὰ τί οἱ μεσόνεοι μάλιστα τὴν ναῦν κινοῦσιν; ἢ διότι 4
ἡ κώπη μοχλός ἐστιν; ὑπομόχλιον μὲν γὰρ ὁ σκαλμὸς γίνεται (μένει γὰρ δὴ τοῦτο), τὸ δὲ βάρος ἡ θάλαττα, ἣν ἀπωθεῖ ἡ κώπη· ὁ δὲ κινῶν τὸν μοχλὸν ὁ ναύτης ἐστίν. ἀεὶ δὲ πλέον βάρος κινεῖ, ὅσῳ ἂν πλέον ἀφεστήκῃ τοῦ ὑπομοχλίου ὁ κινῶν τὸ βάρος· μείζων γὰρ οὕτω γίνεται ἡ ἐκ τοῦ κέντρου, ὁ δὲ σκαλμὸς ὑπομόχλιον ὢν κέντρον ἐστίν. ἐν μέσῃ δὲ τῇ νηῒ πλεῖστον τῆς κώπης ἐντός ἐστιν· καὶ γὰρ ἡ ναῦς ταύτῃ εὐρυτάτη ἐστίν, ὥστε πλεῖον ἐπ' ἀμφότερα ἐνδέχεσθαι μέρος τῆς κώπης ἑκατέρου τοίχου ἐντὸς εἶναι τῆς νεώς. κινεῖται μὲν οὖν ἡ ναῦς διὰ τὸ ἀπερειδομένης τῆς κώπης εἰς τὴν θάλασσαν τὸ ἄκρον τῆς κώπης τὸ ἐντὸς προϊέναι εἰς τὸ πρόσθεν, τὴν δὲ ναῦν προσδεδεμένην τῷ σκαλμῷ συμπροϊέναι, ᾗ τὸ ἄκρον τῆς κώπης. ᾗ γὰρ πλείστην θάλασσαν διαιρεῖ ἡ κώπη, ταύτῃ ἀνάγκη μάλιστα προωθεῖσθαι· πλείστην δὲ διαιρεῖ, ᾗ πλεῖστον μέρος ἀπὸ τοῦ σκαλμοῦ τῆς κώπης ἐστίν. διὰ τοῦτο οἱ μεσόνεοι μάλιστα κινοῦσιν· μέγιστον γὰρ ἐν μέσῃ νηῒ τὸ ἀπὸ τοῦ σκαλμοῦ τῆς κώπης τὸ ἐντός ἐστιν.


Διὰ τί τὸ πηδάλιον μικρὸν ὄν, καὶ ἐπ' ἐσχάτῳ τῷ 5
πλοίῳ, τοσαύτην δύναμιν ἔχει ὥστε ὑπὸ μικροῦ οἴακος καὶ

1 καταστήσεται malebat Bekker ‖ 2 ἔσται Wᵃ ‖ 3 ἐφ' οὗ utrobique Par. A ‖ 4 ἐφ' ᾧ τὸ Ε] δὲ ἐφ' οὗ τὸ ε Par. A, deinde bis ἐφ' οὗ ‖ 5 τὰ Wᵃ ‖ τὸ κ Par. A ‖ 7 et 9 κοπὴ Par. A ‖ 10 πλέον post ἂν om. Wᵃ ‖ ἀφεστήκῃ Bekker: ἀφεστήκοι codd. ‖ ὑπομόχλου Wᵃ ‖ 13 μέσῳ P ‖ 14 ἀμφοτέροις Wᵃ ‖ 18 τὸ] τὰ post εἰς Wᵃ ‖ 19 ᾗ τὸ] ἢ τὸ P Wᵃ ‖ 20 γὰρ] ἄρα malebat Cappelle ‖ 21 εἰ P Wᵃ ‖ 25 τοῦ πλοίου / τῷ πλοίῳ Par. A

ἑνὸς ἀνθρώπου δυνάμεως, καὶ ταύτης ἠρεμαίας, μεγάλα κινεῖσθαι μεγέθη πλοίων; ἢ διότι καὶ τὸ πηδάλιόν ἐστι μοχλός, καὶ μοχλεύει ὁ κυβερνήτης. ᾗ μὲν οὖν προσήρμοσται τῷ πλοίῳ, γίνεται ὑπομόχλιον, τὸ δὲ ὅλον πηδάλιον ὁ μοχλός, τὸ δὲ βάρος ἡ θάλασσα, ὁ δὲ κυβερνήτης ὁ κινῶν. οὐ κατὰ πλάτος δὲ λαμβάνει τὴν θάλασσαν, ὥσπερ ἡ κώπη, τὸ πηδάλιον. οὐ γὰρ εἰς τὸ πρόσθεν κινεῖ τὸ πλοῖον, ἀλλὰ κινούμενον κλίνει, πλαγίως τὴν θάλατταν δεχόμενον. ἐπεὶ γὰρ τὸ βάρος ἦν ἡ θάλασσα, τοὐναντίον ἀπερειδόμενον κλίνει τὸ πλοῖον. τὸ γὰρ ὑπομόχλιον εἰς τοὐναντίον στρέφεται, ἡ θάλασσα μὲν εἰς τὸ ἐντός, ἐκεῖνο δὲ εἰς τὸ ἐκτός. τούτῳ δὲ ἀκολουθεῖ τὸ πλοῖον διὰ τὸ συνδεδέσθαι. ἡ μὲν οὖν κώπη κατὰ πλάτος τὸ βάρος ὠθοῦσα καὶ ὑπ' ἐκείνου ἀντωθουμένη εἰς τὸ εὐθὺ προάγει· τὸ δὲ πηδάλιον, ὥσπερ κάθηται πλάγιον, τὴν εἰς τὸ πλάγιον, ἢ δεῦρο ἢ ἐκεῖ, ποιεῖ κίνησιν. ἐπ' ἄκρου δὲ καὶ οὐκ ἐν μέσῳ κεῖται, ὅτι ῥᾷστον τὸ κινούμενον κινῆσαι ἀπ' ἄκρου κινοῦντι. τάχιστα γὰρ φέρεται τὸ πρῶτον μέρος διὰ τὸ ὥσπερ ἐν τοῖς φερομένοις ἐπὶ τέλει λήγειν τὴν φοράν, οὕτω καὶ τοῦ συνεχοῦς ἐπὶ τέλους ἀσθενεστάτη ἐστὶν ἡ φορά. εἰ δὲ ἀσθενεστάτη, ῥᾳδία ἐκκρούειν. διά τε δὴ ταῦτα ἐν τῇ πρύμνῃ τὸ πηδάλιόν ἐστι, καὶ ὅτι ἐνταῦθα μικρᾶς κινήσεως γενομένης πολλῷ μεῖζον τὸ διάστημα ἐπὶ τῷ ἐσχάτῳ γίνεται, διὰ τὸ τὴν ἴσην

1 *μέγα* W[a] ‖ 2 *μέγεθος* W[a] ‖ 3 *καὶ* — 5 *μοχλός* add. *P W*[a] et Par. *A*, nisi quod hic 3 pro *μοχλεύει* praebet *μοχλεὺς* et 5 articulum *ὁ* omittit. Cappelle in his scholiastae manum agnoscit ‖ 6 *ὅπερ* *P* ‖ 7 *πλεῖον* W[a] ‖ 11 *θάλασσα μὲν εἰς τὸ ἐντός* Par. *A*, Cappelle: *θάλασσα δὲ ἐντὸς* *P W*[a] ‖ *ἐκεῖνο δὲ*] *εἰ δὲ ἐκεῖνο* *P W*[a] ‖ 12 *πλεῖον* *P* ‖ 13 *κατὰ*] *κατὰ τὸ* Par. *A* ‖ 14 *αὐτωθουμένου* W[a] ‖ 17 *ἐπ' ἄκρου* Cappelle e suis, ut videtur, codd. ‖ *κινοῦντι* Cappelle cum Leoniceno: *κινοῦν* codd. ‖ 18 *βάρος* *P* ‖ 19 *τοῦ συνεχοῦς* / *τῆς συνεχείας* Par. *A* ‖ 20 *εἰ*] *ἡ* Par. *A* ‖ 21 *ἐκκρού-εσθαι* / *-ειν* Par. *A*

γωνίαν ἐπὶ μείζονα καθῆσθαι, καὶ ὅσῳ ἂν μείζους ὦσιν αἱ περιέχουσαι. δῆλον δὲ ἐκ τούτου καὶ δι' ἣν αἰτίαν μᾶλλον προέρχεται εἰς τοὐναντίον τὸ πλοῖον ἢ ἡ τῆς κώπης πλάτη· τὸ αὐτὸ γὰρ μέγεθος τῇ αὐτῇ ἰσχύϊ κινούμενον ἐν ἀέρι πλέον ἢ ἐν τῷ ὕδατι πρόεισιν. ἔστω γὰρ ἡ *ΑΒ* κώπη, τὸ δὲ *Γ* ὁ σκαλμός, τὸ δὲ *Α* τὸ ἐν τῷ πλοίῳ, ἡ ἀρχὴ τῆς



κώπης, τὸ δὲ *Β* τὸ ἐν τῇ θαλάττῃ. εἰ δὴ τὸ *Α* οὗ τὸ *Δ* μετακεκίνηται, τὸ *Β* οὐκ ἔσται οὗ τὸ *Ε*· ἴση γὰρ ἡ *ΒΕ* τῇ *ΑΔ*. ἴσον οὖν μετακεχωρηκὸς ἔσται. ἀλλ' ἦν ἔλαττον. ἔσται δὲ οὗ τὸ *Ζ*. τὸ *Θ* ἄρα τέμνει τὴν *ΑΒ*, καὶ οὐχ ᾗ τὸ *Γ*, καὶ κάτωθεν. ἐλάττων γὰρ ἡ *ΒΖ* τῆς *ΑΔ*, ὥστε καὶ ἡ *ΘΖ* τῆς *ΔΘ*· ὅμοια γὰρ τὰ τρίγωνα. μεθεστηκὸς δὲ ἔσται καὶ τὸ μέσον, τὸ ἐφ' οὗ *Γ*· εἰς τοὐναντίον γὰρ τῷ ἐν τῇ θαλάττῃ ἄκρῳ τῷ *Β* μεταχωρεῖ, ᾗπερ τὸ ἐν τῷ πλοίῳ ἄκρον τὸ *Α*, μετεχώρει δὲ τὸ *Α* οὗ τὸ *Δ*. ὥστε μετακινηθήσεται τὸ πλοῖον, καὶ ἐκεῖ, οὗ ἡ ἀρχὴ τῆς κώπης, μετα-

8 μετακινεῖται Par. *A*, at in mg. μετακεκίνηται ‖ 9 τῇ] τὸ *W*^{a} ‖ γοῦν *P*, γὰρ Par. *A*, at in mg. οὖν ‖ 10 δὲ Cappelle e Leidensi: δὴ ceteri ‖ τὸ Ζ — 11 τὸ *Γ* Par. *A*, Cappelle: τὸ ζ (α̅ *W*^{a}) ἢ (ἡ *W*^{a} ἡ *P*) τὸ θ. ἄρα τοίνυν τὴν αβ καὶ οὐχ ἡ τὸ γ ceteri ‖ 11 ἐλάττω *P W*^{a}, ἐλάτ$^{\tau\omega}_{\tau\omega\nu}$ Par. *A* ‖ 12 θδ Par. *A* ‖ μεθεστηκὸς Par. *A*, Cappelle: καθεστηκὸς *P W*^{a} ‖ 15 μετεχώρει — *Δ* Par. *A*, Cappelle: μὴ ἐχώρει οὗ τὸ δ *P W*^{a}

φέρεται. τὸ δ' αὐτὸ καὶ τὸ πηδάλιον ποιεῖ, πλὴν ὅτι εἰς τὸ πρόσθεν οὐδὲν συμβάλλεται τῷ πλοίῳ, ὥσπερ ἐλέχθη ἐπάνω, ἀλλὰ μόνον τὴν πρύμναν εἰς τὸ πλάγιον ἀπωθεῖ ἔνθα ἢ ἔνθα· εἰς τοὐναντίον γὰρ ἡ πρῷρα οὕτω νεύει. ᾗ μὲν δὴ τὸ πηδάλιον προσέζευκται, δεῖ οἷόν τι τοῦ κινουμένου μέσον νοεῖν, καὶ ὥσπερ ὁ σκαλμὸς τῇ κώπῃ· τὸ δὲ μέσον ὑποχωρεῖ, ᾗ ὁ οἴαξ μετακινεῖται. ἐὰν μὲν εἴσω ἄγῃ, καὶ ἡ πρύμνα δεῦρο μεθέστηκεν· ἡ δὲ πρῷρα εἰς τοὐναντίον νεύει· ἐν γὰρ τῷ αὐτῷ οὔσης τῆς πρῴρας τὸ πλοῖον μεθέστηκεν ὅλον.

6 *Διὰ τί*, ὅσῳ ἂν ἡ κεραία ἀνωτέρα ᾖ, θᾶττον πλεῖ τὰ πλοῖα τῷ αὐτῷ ἱστίῳ καὶ τῷ αὐτῷ πνεύματι; ἢ διότι γίνεται ὁ μὲν ἱστὸς μοχλός, ὑπομόχλιον δὲ τὸ ἑδώλιον, ἐν ᾧ ἐμπέπηγεν, ὃ δὲ δεῖ κινεῖν βάρος, τὸ πλοῖον, τὸ δὲ κινοῦν τὸ ἐν τῷ ἱστίῳ πνεῦμα. εἰ δ' ὅσῳ ἂν πορρώτερον ᾖ τὸ ὑπομόχλιον, ῥᾷον κινεῖ καὶ θᾶττον ἡ αὐτὴ δύναμις τὸ αὐτὸ βάρος, ἡ οὖν κεραία ἀνώτερον ἀγομένη καὶ τὸ ἱστίον πορρώτερον ποιεῖ τοῦ ἑδωλίου ὑπομοχλίου ὄντος.

7 *Διὰ τί*, ὅταν ἐξ οὐρίας βούλωνται διαδραμεῖν μὴ οὐρίου τοῦ πνεύματος ὄντος, τὸ μὲν πρὸς τὸν κυβερνήτην τοῦ ἱστίου μέρος στέλλονται, τὸ δὲ πρὸς τὴν πρῷραν πόδα ποιησάμενοι ἐφιᾶσιν; ἢ διότι ἀντισπᾶν τὸ πηδάλιον πολλῷ μὲν ὄντι τῷ πνεύματι οὐ δύναται, ὀλίγῳ δέ, ὃ ὑποστέλλονται. προάγει μὲν οὖν τὸ πνεῦμα, εἰς οὔριον δὲ καθίστησι τὸ πηδάλιον, ἀντισπῶν καὶ μοχλεῦον τὴν θάλατταν. ἅμα δὲ καὶ οἱ ναῦται μάχονται τῷ πνεύματι· ἀνακλίνουσι γὰρ ἐπὶ τὸ ἐναντίον ἑαυτούς.

3 ἐπάνω Par. *A*: ἐπὶ ἄνω *P* W^a || 4 εἰς τοὐναντίον] ἢ εἰς τοὐναντίον *P*, ἢ οὐ τοὐναντίον W^a || ἤμεν Par. *A* || 12 πλοῖα] α W^a || 14 δεῖ om. W^a || 17 γοῦν Par. *A* || 19 τί] τί δὲ Par. *A* || 21 τὸ] τὸν Par. *A* || πόδα Leonicenus, Cappelle: ποδιαῖον codd. || 22 ἐφιῶσιν W^a || ἀντισπᾶ *P*, σπᾶ W^a || μὲν ὄντι] μᾶλλον ὄντι Par. *A*. an ἐμβάλλοντι? || 23 ὃ] διὸ Bussemaker

Διὰ τί τὰ στρογγύλα καὶ περιφερῆ τῶν σχημάτων εὐκινητότερα; τριχῶς δὲ ἐνδέχεται τὸν κύκλον κυλισθῆναι· ἢ γὰρ κατὰ τὴν ἁψῖδα, συμμεταβάλλοντος τοῦ κέντρου, ὥσπερ ὁ τροχὸς ὁ τῆς ἁμάξης κυλίεται· ἢ περὶ τὸ κέντρον μόνον, ὥσπερ αἱ τροχιλέαι, τοῦ κέντρου μένοντος· ἢ παρὰ τὸ ἐπίπεδον, τοῦ κέντρου μένοντος, ὥσπερ ὁ κεραμεικὸς τροχὸς κυλίνδεται. ἢ μὲν δὴ τάχιστα τὰ τοιαῦτα, διά τε τὸ μικρῷ ἅπτεσθαι τοῦ ἐπιπέδου, ὥσπερ ὁ κύκλος κατὰ στιγμήν, καὶ διὰ τὸ μὴ προσκόπτειν· ἀφέστηκε γὰρ τῆς γῆς ἡ γωνία. καὶ ἔτι ᾧ ἂν ἀπαντήσῃ σώματι, πάλιν τούτου κατὰ μικρὸν ἅπτεται. εἰ δ' εὐθύγραμμον ἦν, τῇ εὐθείᾳ ἐπὶ πολὺ ἥπτετο ἂν τοῦ ἐπιπέδου. ἔτι ᾗ ῥέπει ἐπὶ τὸ βάρος, ταύτῃ κινεῖ ὁ κινῶν. ὅταν μὲν γὰρ πρὸς ὄρθιον ᾖ διάμετρος ἡ τοῦ κύκλου τῷ ἐπιπέδῳ, ἁπτομένου τοῦ κύκλου κατὰ στιγμὴν τοῦ ἐπιπέδου, ἴσον τὸ βάρος ἐπ' ἀμφότερα διαλαμβάνει ἡ διάμετρος· ὅταν δὲ κινῆται, εὐθὺς πλέον ἐφ' ᾧ κινεῖται, ὥσπερ ῥέπον. ἐντεῦθεν εὐκινητότερον τῷ ὠθοῦντι εἰς τοὔμπροσθεν· ἐφ' ὃ γὰρ ῥέπει ἕκαστον, εὐκίνητόν ἐστιν, εἴπερ καὶ τὸ ἐπὶ τὸ ἐναντίον τῆς ῥοπῆς δυσκίνητον. ἔτι λέγουσί τινες ὅτι καὶ ἡ γραμμὴ ἡ τοῦ κύκλου ἐν φορᾷ ἐστὶν ἀεί, ὥσπερ τὰ μένοντα, διὰ τὸ ἀντερείδειν, οἷον καὶ τοῖς μείζοσι κύκλοις ὑπάρχει πρὸς τοὺς ἐλάττονας. θᾶττον γὰρ ὑπὸ τῆς ἴσης ἰσχύος κινοῦνται οἱ μείζους καὶ τὰ βάρη κινοῦσι, διὰ τὸ ῥοπήν τινα ἔχειν τὴν γωνίαν τὴν τοῦ μείζονος κύκλου πρὸς τὴν τοῦ ἐλάττονος, καὶ εἶναι ὥσπερ ἡ διάμετρος πρὸς 8

2ª *τὴν διάμετρον. ἀλλὰ μὴν πᾶς κύκλος μείζων πρὸς ἐλάττονα· ἄπειροι γὰρ οἱ ἐλάττονες. εἰ δὲ καὶ πρὸς ἕτερον ἔχει*

5 τροχιλαῖαι Par. *A* ‖ περὶ *W*ª ‖ 6 κεραμικὸς *W*ª Par. *A* ‖ 7 ἢ Leonicenus, Monantholius, Cappelle: εἰ codd. ‖ δὲ *W*ª Par. *A* ‖ τῶ *PW*ª, τῷ Par. *A* ‖ 13 Par. *A* in mg. πρὸς ὀρθὰς ‖ 16 ἐφ' ὃ Par. *A* ‖ 18 $\overset{\text{εἴ}}{\text{ὥσ}}$περ Par. *A* ‖ 19 τὸ post καὶ om. *W*ª ‖ 21 ὥσπερ καὶ Par. *A* ‖ 25 ὥσπερ Leonicenus, Cappelle: ὅπερ codd.

ῥοπὴν ὁ κύκλος, ὁμοίως δὲ εὐκίνητος, καὶ ἄλλην ἂν ἔχοι ῥοπὴν ὁ κύκλος καὶ τὰ ὑπὸ κύκλου κινούμενα, κἂν μὴ τῇ ἀψῖδι ἅπτηται τοῦ ἐπιπέδου, ἀλλ' ἢ παρὰ τὸ ἐπίπεδον, ἢ ὡς αἱ τροχιλέαι· καὶ γὰρ οὕτως ἔχοντα ῥᾷστα κινοῦνται καὶ κινοῦσι τὸ βάρος. ἢ οὐ τῷ κατὰ μικρὸν ἅπτεσθαι καὶ προσκρούειν, ἀλλὰ δι' ἄλλην αἰτίαν. αὕτη δέ ἐστιν ἡ εἰρημένη πρότερον, ὅτι ἐκ δύο φορῶν γεγένηται ὁ κύκλος, ὥστε μίαν αὐτῶν αἰεὶ ἔχειν ῥοπήν, καὶ οἷον φερόμενον αὐτὸν αἰεὶ κινοῦσιν οἱ κινοῦντες, ὅταν κινῶσι κατὰ τὴν περιφέρειαν ὁπωσοῦν. φερομένην γὰρ αὐτὴν κινοῦσιν· τὴν μὲν γὰρ εἰς τὸ πλάγιον αὐτοῦ κίνησιν ὠθεῖ τὸ κινοῦν, τὴν δὲ ἐπὶ τῆς διαμέτρου αὐτὸς κινεῖται.

9 *Διὰ τί τὰ διὰ τῶν μειζόνων κύκλων αἰρόμενα καὶ ἑλκόμενα ῥᾷον καὶ θᾶττον κινοῦμεν; οἷον καὶ αἱ τροχιλέαι αἱ μείζους τῶν ἐλαττόνων, καὶ αἱ σκυτάλαι ὁμοίως. ἢ διότι ὅσῳ ἂν μείζων ἡ ἐκ τοῦ κέντρου ᾖ, ἐν τῷ ἴσῳ χρόνῳ πλέον κινεῖται χωρίον, ὥστε καὶ τοῦ ἴσου βάρους ἐπόντος ποιήσει τὸ αὐτό, ὥσπερ εἴπομεν καὶ τὰ μείζω ζυγὰ τῶν ἐλαττόνων ἀκριβέστερα εἶναι. τὸ μὲν γὰρ σπαρτίον ἐστὶ κέντρον, τοῦ δὲ ζυγοῦ αἱ ἐπὶ τάδε τοῦ σπαρτίου αἱ ἐκ τοῦ κέντρου.*

1 *καὶ ἄλλην* bis ponit Par. *A*. inde a *καὶ ἄλλην* apodosin ordiri moneo propter Cappellium, qui falso haec interpungit et interpretatur || *ἔχῃ* Par. *A* || 3 *ἅπτεται* *P W*a || *περὶ* *W*a || 4 *αἱ* om. *W*a || *τροχιλαῖαι* Par. *A* || *ἔχον*$^{τες}_{τα}$ Par. *A* || 8 *αὐτῶν*] *αὐτὸν* Par. *A* || 11 *αὐ*$^{τοῦ}_{τὴν}$ Par. *A* || 14 *τροχιλαῖαι* Par. *A*, *τροχιλαί* *W*a || 16 *ἦν* *W*a || 17 *χωρίῳ* *P* Par. *A* || *ἐπιθέντος* Par. *A*, at in mg. *ἐπόντος* || 19 *ἀκριβέστερον* *W*a || 20 post *κέντρου* in Par. *A* a scholiasta, ut putat Cappelle, addita et male praemissa capiti decimo, quod sequi debebant, leguntur haecce: *εἰ γὰρ σιδηροῦς τύχῃ καὶ ξύλινος ἄλλος ζυγός, ταχύτερον ἀπὸ τοῦ αὐτοῦ βάρους ὁ ξύλινος κινηθήσεται διὰ τὸ πρὸς τὰ ἄνω δυσκίνητα εἶναι τὰ βάρη, ἐναντίον τοῦ ἄνω τόπου τοῖς βάρεσι. τὰ δὲ πλείονα βάρη δυσκινητότερα τῶν ἐλαττόνων πρὸς τὰ ἄνω εἰσί. διὸ καὶ ὁ σιδηροῦς ζυγός,* ἅτε τοῦ ξυλίνου βαρύτερος ὤν,

10 *Διὰ τί ῥᾷον, ὅταν ἄνευ βάρους ᾖ, κινεῖται τὸ ζυγόν, ἢ ἔχον βάρος; ὁμοίως δὲ καὶ τροχὸς ἢ ἄλλο τοιοῦτο τοῦ βαρυτέρου μέν, μείζονος δὲ τὸ ἔλαττον καὶ κουφότερον. ἢ ὅτι οὐ μόνον εἰς τοὐναντίον τὸ βαρύ, ἀλλὰ καὶ εἰς τὸ πλάγιον δυσκίνητόν ἐστιν. ἐναντίον γὰρ τῇ ῥοπῇ κινῆσαι χαλεπῶς, ἐφ' ὃ δὲ ῥέπει, ῥᾳδίως· εἰς δὲ τὸ πλάγιον οὐ ῥέπει.*

11 *Διὰ τί ἐπὶ τῶν σκυτάλων ῥᾷον τὰ φορτία κομίζεται ἢ ἐπὶ τῶν ἁμαξῶν, ἐχουσῶν τῶν μὲν μεγάλους τροχούς, τῶν δὲ μικρούς; ἢ διότι ἐπὶ τῶν σκυτάλων οὐδεμίαν ἔχει πρόσκοψιν, τὸ δὲ ἐπὶ τῶν ἁμαξῶν τὸν ἄξονα, καὶ προσκόπτει αὐτῷ· ἔκ τε γὰρ τῶν ἄνωθεν πιέζει αὐτὸν καὶ ἐκ τῶν πλαγίων. τὸ δὲ ἐπὶ τῶν σκυτάλων ἐπὶ δύο τούτων κινεῖται, τῇ τε κάτω χώρᾳ ὑποκειμένῃ καὶ τῷ βάρει τῷ ἐπικειμένῳ· ἐπ' ἀμφοτέρων γὰρ τούτων κυλίεται τῶν τόπων ὁ κύκλος καὶ φερόμενος ὠθεῖται.*

12 *Διὰ τί πορρωτέρω τὰ βέλη φέρεται ἀπὸ τῆς σφενδόνης ἢ ἀπὸ τῆς χειρός; καίτοι κρατεῖ γε ὁ βάλλων τῇ χειρὶ μᾶλλον ἢ ἀπαρτήσας τὸ βάρος. καὶ ἔτι οὕτω μὲν δύο βάρη κινεῖ, τό τε τῆς σφενδόνης καὶ τὸ βέλος, ἐκείνως δὲ τὸ βέλος*

βραδύτερον κινεῖται, διὰ τὸ εἶναι τὸ ἕτερον ἄκρον αὐτοῦ, ἐν ᾧ τὸ βάρος οὐκ ἐπιτίθεται, βραδέως κάτω κινεῖσθαι (mg. *καταχινεῖσθαι*), *τὸ δὲ ξύλινον τοὐναντίον. ἀλλὰ καὶ ἐπὶ τοῖς τροχοῖς τὸ αὐτὸ συμβαίνει. τὸ γὰρ βάρος τοῦ σιδηροῦ τροχοῦ μᾶλλον ὠθεῖ τοῦτον κάτω· καί ἐστιν ὡς πρὸς τὸ πλάγιον δυσκίνητον. ὁ δὲ κουφότερος εὐκινητότερός ἐστι διὰ τὸ καὶ τὸ βάρος αὐτοῦ κουφότερον εἶναι, καὶ ἔλαττον ὠθεῖ τοῦτον κάτω* ‖ 2 *τροχὸν* *P W*ᵃ ‖ *τοιοῦτον* Par. *A* ‖ *τοῦ βαρυτέρου* — 3 *κουφότερον* Cappelle: *τὸ βαρύτερον μέν, μεῖζον* (*μείζω* *P W*ᵃ Par. *A*) *δὲ τοῦ ἐλάττονος καὶ κουφοτέρου* (*κουφότερον* *W*ᵃ) codd., vulgo ‖ 5 an *κινεῖται*? Bekker ‖ 7 *σκυταλῶν* Bonitz ind. Arist. 686ᵇ 5; item l. 9 et 12 ‖ 12 *τὸ*] *τῶν* *W*ᵃ ‖ 13 *ὑποκειμένου* *W*ᵃ ‖ 14 *ἀμφότερα* *P* ‖ 16 *πορρώτερα* Par. *A* ‖ 18 $^{ά}_{σ}$*παρτ*$^{ή}_{ι}$*σας* Par. *A* ‖ *βάρος*] *καίαρ* Cappelle cum Leidensi et vulg. ‖ 19 *τότε* $^{τῆς}_{τὴν}$ *σφενδόν*$^{ης}_{ην}$ *καὶ* $^{τοῦ}_{τὸ}$ *βέλ*$^{ους}_{ος}$ Par. *A*


μόνον. πότερον ὅτι ἐν μὲν τῇ σφενδόνῃ κινούμενον βέλος ῥίπτει ὁ βάλλων (περιαγαγὼν γὰρ κύκλῳ πολλάκ ἀφίησιν), ἐκ δὲ τῆς χειρὸς ἀπὸ τῆς ἠρεμίας ἡ ἀρχή· πάντ δὲ εὐκινητότερα κινούμενα ἢ ἠρεμοῦντα. ἢ διά τε τοῦτο καὶ διότι ἐν μὲν τῷ σφενδονᾶν ἡ μὲν χεὶρ γίνεται κέντρον, ἡ δὲ σφενδόνη ἡ ἐκ τοῦ κέντρου· ὅσῳ δ' ἂν ᾖ μείζων ἡ ἀπὸ τοῦ κέντρου, κινεῖται θᾶττον. ἡ δὲ ἀπὸ τῆς χειρὸς βολὴ πρὸς τὴν σφενδόνην βραχεῖα ἐστίν.

13 Διὰ τί ῥᾷον κινοῦνται περὶ τὸ αὐτὸ ζυγὸν οἱ μείζους τῶν ἐλαττόνων κόλλοπες, καὶ οἱ αὐτοὶ ὄνοι οἱ λεπτότεροι ὑπὸ τῆς αὐτῆς ἰσχύος τῶν παχυτέρων; ἢ διότι ὁ μὲν ὄνος καὶ τὸ ζυγὸν κέντρον ἐστίν, τὰ δὲ ἀπέχοντα μεγέθη αἱ ἐκ τοῦ κέντρου; θᾶττον δὲ κινοῦνται καὶ πλέον ἀπὸ τῆς αὐτῆς ἰσχύος αἱ τῶν μειζόνων κύκλων ἢ αἱ τῶν ἐλαττόνων· ὑπὸ τῆς αὐτῆς γὰρ ἰσχύος θᾶττον μεθίσταται τὸ ἄκρον τὸ πορρώτερον τοῦ κέντρου. διὸ πρὸς μὲν τὸ ζυγὸν τοὺς κόλλοπας ὄργανα ποιοῦνται, οἷς ῥᾷον στρέφουσιν· ἐν δὲ τοῖς λεπτοῖς ὄνοις πλεῖον γίνεται τὸ ἔξω τοῦ ξύλου, αὕτη δὲ γίνεται ἡ ἐκ τοῦ κέντρου.

14 Διὰ τί τὸ αὐτὸ μέγεθος ξύλον ῥᾷον κατεάσσεται περὶ τὸ γόνυ, ἐὰν ἴσον ἀποστήσας τις τῶν ἄκρων ἐχόμενος καταγνύῃ, ἢ παρὰ τὸ γόνυ ἐγγὺς ὄντος· καὶ ἐὰν πρὸς τὴν γῆν ἐρείσας καὶ τῷ ποδὶ προσβὰς πόρρωθεν τῇ χειρὶ καταγνύῃ, ἢ ἐγγύθεν; ἢ διότι ἔνθα μὲν τὸ γόνυ κέντρον, ἔνθα δὲ ὁ

5 ἐκ μὲν σφενδόνης W^a, ἐν μὲν τῷ σφενδόνης Par. *A* ‖ 6 ὅσω δ' Par. *A*: ὅσῳ ceteri ‖ 9 τὸν αὐτὸν Par. *A* ‖ 10 οἱ αὐτοί] ὡσαύτως malebat Cappelle ‖ 12 ἀπέχεται W^a ‖ 13 αὐτοῦ W^a ‖ 15 ἰσχύος. αἱ τῶν μειζόνων κύκλων ἢ θᾶττον μεθίσταται Par. *A* ‖ θᾶττον] μεῖζον *P* ‖ 16 τὸ] τὸν Par. *A* ‖ 17 κινοῦνται Par. *A*, sed in mg. ποιοῦνται ‖ 20 τ$^{οῦ}_{ὸ}$ αὐτ$^{οῦ}_{ὸ}$ μ$^{ε}_{έ}$γ$^{έ}_{ε}$θ$^{ους}_{ος}$ ξύλ$^{ον}_{ου}$ Par. *A*, fort. cum Par. *B* leg. τὸ αὐτὸ μέγεθος ξύλου ‖ 21 ἀποστήσας τις Cappelle cum Leoniceno et Sylburgio: ἀποστήσωσι W^a Par. *A*, ἀποστήσας mg. Par. *A*, Bekker e *P*, ut videtur ‖ 22 περὶ W^a ‖ ὄντος] ὢν Par. *A* in mg. ‖ 24 μὲν γὰρ τὸ P W^a Par.

ἀμφοῖν, ὁτὲ μὲν τηλικαύτη γίνεται ἡ γραμμή, ἣν ἐκκυλίονται, ἡλίκην ὁ ἐλάττων κύκλος καθ᾽ αὑτὸν ἐκκυλίεται, ὁτὲ δὲ ὅσην ὁ μείζων. ὅτι μὲν οὖν μείζω ἐκκυλίεται ὁ μείζων, φανερόν. γωνία μὲν γὰρ δοκεῖ κατὰ τὴν αἴσθησιν εἶναι ἡ περιφέρεια ἑκάστου τῆς οἰκείας διαμέτρου, ἡ τοῦ μείζονος κύκλου μείζων, ἡ δὲ τοῦ ἐλάττονος ἐλάττων, ὥστε τὸν αὐτὸν τοῦτον ἕξουσι λόγον, καθ᾽ ἃς ἐξεκυλίσθησαν αἱ γραμμαὶ πρὸς ἀλλήλας κατὰ τὴν αἴσθησιν. ἀλλὰ μὴν καὶ ὅτι τὴν ἴσην ἐκκυλίονται, ὅταν περὶ τὸ αὐτὸ κέντρον κείμενοι ὦσι, δῆλον· καὶ οὕτως γίνεται ὁτὲ μὲν ἴση τῇ γραμμῇ, ἣν ὁ μείζων κύκλος ἐκκυλίεται, ὁτὲ δὲ τῇ, ἣν ὁ ἐλάττων. ἔστω γὰρ κύκλος ὁ μείζων μὲν ἐφ᾽ οὗ τὰ ΔΖΓ, ὁ δὲ ἐλάττων ἐφ᾽




οὗ τὰ ΕΗΒ, κέντρον δὲ ἀμφοῖν τὸ Α· καὶ ἣν μὲν ἐξελίττεται καθ᾽ αὑτὸν ὁ μέγας, ἡ ἐφ᾽ ἧς ΖΙ ἔστω, ἣν δὲ ὁ ἐλάττων καθ᾽ αὑτόν, ἡ ἐφ᾽ ἧς ΗΚ, ἴση τῇ ΖΛ. ἐὰν δὴ

διῃρημένοι, καὶ μὴ ἓν καὶ τὸ αὐτὸ ἔχονται κέντρον· εἰ γὰρ ὁ μείζων κύκλος τοῦ ἐλάσσονος διπλάσιος, καὶ ἡ γραμμὴ διπλασία, ἣν ἐξελίττει οὗτος ‖ 5 ἡ τοῦ] ἢ τοῦ Par. *A* ‖ 6 ἡ δὲ τοῦ ἐλάττονος ἐλάττων om. *PWᵃ* ‖ 11 ὁτὲ δὲ τῇ, ἣν ὁ ἐλάττων Cappelle: ὅτε δὲ τὴν, ἣν ὁ ἐλάττων Par. *A*, ὁτὲ δὲ ἐλάττων *PWᵃ* ‖ 14 αὐτὸ *P* ‖ ἢ ἐφ᾽ οἷς *PWᵃ* ‖ Ζ] τί *Wᵃ* ‖ δὴ *P* ‖ 15 ἡ *Wᵃ* ‖ ΖΛ Cappelle: αξ *PWᵃ*, αλ Par. *A* ‖ δὲ *Wᵃ*

αὐτοῦ, ὃ ἡ χεὶρ αἴρει, οἷον ὑπομόχλιον γίνεται, τὸ δ' ἐπὶ τῷ ἄκρῳ βάρος. ὥστε ὅσῳ ἂν ᾖ μακρότερον τὸ ἀπὸ τοῦ ὑπομοχλίου, τοσούτῳ ἀνάγκη κάμπτεσθαι μᾶλλον· ὅσῳ γὰρ ἂν πλέον ἀπέχῃ τοῦ ὑπομοχλίου, τοσούτῳ ἀνάγκη κάμπτεσθαι μεῖζον. ἀνάγκη οὖν αἴρεσθαι τὰ ἄκρα τοῦ μοχλοῦ. ἐὰν οὖν ᾖ καμπτόμενος ὁ μοχλός, ἀνάγκη αὐτὸν κάμπτεσθαι μᾶλλον αἰρόμενον. ὅπερ συμβαίνει ἐπὶ τῶν ξύλων τῶν μακρῶν· ἐν δὲ τοῖς βραχέσιν ἐγγὺς τὸ ἔσχατον τοῦ ὑπομοχλίου γίνεται τοῦ ἠρεμοῦντος.

17 *Διὰ τί* τῷ σφηνὶ ὄντι μικρῷ μεγάλα βάρη διίσταται καὶ μεγέθη σωμάτων, καὶ θλῖψις ἰσχυρὰ γίνεται; ἢ διότι ὁ σφὴν δύο μοχλοί εἰσιν ἐναντίοι ἀλλήλοις, ἔχει δὲ ἑκάτερος τὸ μὲν βάρος, τὸ δὲ ὑπομόχλιον, ὃ καὶ ἀνασπᾷ ἢ πιέζει. ἔτι δὲ ἡ τῆς πληγῆς φορὰ τὸ βάρος, ὃ τύπτει καὶ κινεῖ, ποιεῖ μέγα· καὶ διὰ τὸ κινούμενον κινεῖν τῇ ταχυτῆτι ἰσχύει ἔτι πλέον. μικρῷ δὲ ὄντι μεγάλαι δυνάμεις ἀκολουθοῦσι· διὸ λανθάνει κινῶν παρὰ τὴν ἀξίαν τοῦ μεγέθους. ἔστω σφὴν ἐφ' ᾧ *ΑΒΓ*, τὸ δὲ σφηνούμενον *ΔΕΗΖ*. μοχλὸς δὴ γίνεται ἡ *ΑΒ*, βάρος δὲ τὸ τοῦ *Β* κάτωθεν, ὑπομόχλιον δὲ τὸ *ΖΔ*. ἐναντίος δὲ τούτῳ μοχλὸς ἡ *ΒΓ*. ἡ δὲ *ΑΓ* κοπτομένη ἑκατέρᾳ τούτων χρῆται μοχλῷ· ἀνασπᾷ γὰρ τὸ *Β*.



1 ὃ ἡ χεὶρ αἴρει om. *PW*a ‖ τῶ *P* ‖ 3 μᾶλλον — 4 κάμπτεσθαι om. *W*a ‖ 6 καμπτός Leonicenus ut videtur ‖ 7 ὥσπερ Par. *Α* ‖ 15 ποιεῖ om. *W*a ‖ 16 ἔ$^{τ}_{π}$ι πλέον Par. *Α* ‖ post ὄντι add. τῷ μοχλῷ Par. *Α* ‖ 18 περὶ *W*a ‖ 21 *ΔΕΗΖ*] δέηται *W*a, ἐφ' ᾧ δεηζ Par. *Α* ‖ μοχλὸς δὲ Par. *Α* ‖ 23 τοῦ] τὸ *W*a ‖ 24 *ΖΔ*] ζ Par. *Α* ‖ 25 ἡ *ΒΓ* Par. *Α*: τὸ βγ *PW*a ‖ 26 post τὸ β in Par. *Α* leguntur ad sequens caput pertinentia minio subducta haecce: ἀπὸ μικρᾶς ὁλκῆς τάχιστα τὸ βάρος ἕλκεται μετὰ

Διὰ τί, ἐάν τις δύο τροχιλέας ποιήσας ἐπὶ δυσὶ ξύλοις συμβάλλουσιν ἑαυτοῖς ἐναντίως αὐταῖς κύκλῳ περιβάλῃ καλώδιον, ἔχον τὸ ἄρτημα ἐκ θατέρου τῶν ξύλων, θάτερον δὲ ᾖ προσερηρεισμένον ἢ προστεθειμένον κατὰ τὰς τροχαλίας, ἐὰν ἕλκῃ τις τῇ ἀρχῇ τοῦ καλωδίου, μεγάλα βάρη προσάγει, κἂν ᾖ μικρὰ ἡ ἕλκουσα ἰσχύς; ἢ διότι τὸ αὐτὸ βάρος ἀπὸ ἐλάττονος ἰσχύος, εἰ μοχλεύεται, ἐγείρεται, ἢ ἀπὸ χειρός; 18
3b ἡ δὲ τροχιλέα τὸ αὐτὸ ποιεῖ τῷ μοχλῷ, ὥστε ἡ μία ῥᾷον ἕλξει, καὶ ἀπὸ μικρᾶς ὁλκῆς τοῦ κατὰ χεῖρα πολὺ ἕλξει βαρύτερον. τοῦτο δ' αἱ δύο τροχαλίαι πλέον ἢ διπλασίῳ τάχει αἴρουσιν. ἔλαττον γὰρ ἔτι ἡ ἑτέρα ἕλκει ἢ εἰ αὐτὴ καθ' ἑαυτὴν εἷλκεν, ὅταν παρὰ τῆς ἑτέρας ἐπιβληθῇ τὸ σχοινίον· ἐκείνη γὰρ ἔτι ἔλαττον ἐποίησε τὸ βάρος. καὶ οὕτως ἐὰν εἰς πλείους ἐπιβάλληται τὸ καλώδιον, ἐν ὀλίγαις τροχιλέαις πολλὴ γίνεται ἡ διαφορά, ὥστε ὑπὸ τῆς πρώτης τοῦ βάρους ἕλκοντος τέτταρας μνᾶς, ὑπὸ τῆς τελευταίας ἕλκεσθαι πολλῷ ἐλάττω. καὶ ἐν τοῖς οἰκοδομικοῖς ἔργοις ῥᾳδίως κινοῦσι μεγάλα βάρη· μεταφέρουσι γὰρ ἀπὸ τῆς αὐτῆς τροχιλέας ἐφ' ἑτέραν, καὶ πάλιν ἀπ' ἐκείνης εἰς

τῆς τροχιλαίας φησὶ ἢ παρ' ὃ *ἀπὸ χειρός· καὶ μείζονα* (*κἂν μεῖζον* Cappelle) *βάρος ἐγγίνεται. τὸ δὲ αἴρεσθαι μείζονα* (*μεῖζον* Cappelle) *βάρος ῥᾳδίως αἱ δύο τροχιλαῖαι μᾶλλον τοῦ διπλασίου τῆς μιᾶς ἢ τῆς χειρὸς αἴρουσι κατὰ τάχος, καὶ ἀεὶ δὴ προστιθεμένων τῶν τροχιλαίων, ἔλαττον ἰσχύει τὰ βάρη ἑλκυσθήσεται* (fort. *ἃ ἑλκυσθήσεται* Cappelle) ἢ παρ' ὃ *τῇ μιᾷ, καὶ ὅσῳ ἂν φησι πλείους αἱ τροχιλαῖαι εἰσίν. ἐλάττω γὰρ τὰ βάρη ποιοῦσιν.* Scholium esse recte iudicat Cappelle ‖ 1 *τροχιλαίας P* Par. *A* ‖ 2 *αὐταῖς* Par. *A*: *αὐταῖς P W^a* ‖ 3 *ἐκ θατέρου*] *ἑκατέρου W^a* ‖ 4 *ᾖ*] *ἢ W^a* ‖ *τροχαλίας P W^a*: *τροχιλαίας* Par. *A* ‖ 5 *μεγάλῳ βάρει W^a* ‖ 8 *τροχιλαῖα P* Par. *A* ‖ 9 *ἕλξει* om. *W^a* ‖ *μικρᾶς* Par. *A* in mg., Cappelle: *μιᾶς* ceteri ‖ 10 *τροχιλαίαι* Par. *A* ‖ 11 *αἴρουσιν* Par. *A*: *αἴρουσαι P W^a* ‖ *ἔτι ἢ ἡ ἑτέρα ἕλκει εἰ P* ‖ 12 *περὶ W^a* ‖ 13 *ποιήσει W^a* ‖ 15 *τροχιλαίαις P* Par. *A* ‖ *πολὺ W^a* ‖ *ἡ διαφορά* Cappelle e Par. *B*: *διαφορὰ ἢ* ceteri ‖ 19 *τροχιλαίας* Par. *A* et sic semper

ὄνους καὶ μοχλούς· τοῦτο δὲ ταὐτόν ἐστι τῷ ποιεῖν πολλὰς τροχιλέας.

19 Διὰ τί, ἐὰν μέν τις ἐπιθῇ ἐπὶ τὸ ξύλον πέλεκυν μέγαν καὶ φορτίον μέγα ἐπ' αὐτῷ, οὐ διαιρεῖ τὸ ξύλον, ὅ τι καὶ λόγου ἄξιον· ἐὰν δὲ ἄρας τὸν πέλεκύν τις πατάξῃ αὐτῷ, διασχίζει, ἔλαττον βάρος ἔχοντος τοῦ τύπτοντος πολὺ μᾶλλον ἢ τοῦ ἐπικειμένου καὶ πιέζοντος; ἢ διότι πάντα τῇ κινήσει ἐργάζεται, καὶ τὸ βαρὺ τὴν τοῦ βάρους κίνησιν λαμβάνει μᾶλλον κινούμενον ἢ ἠρεμοῦν; ἐπικείμενον οὖν οὐ κινεῖται τὴν τοῦ βάρους κίνησιν, φερόμενον δὲ ταύτην τε καὶ τὴν τοῦ τύπτοντος. ἔτι δὲ καὶ γίνεται σφὴν ὁ πέλεκυς· ὁ δὲ σφὴν μικρὸς ὢν μεγάλα διίστησι διὰ τὸ εἶναι ἐκ δύο μοχλῶν ἐναντίως συγκειμένων.

20 Διὰ τί αἱ φάλαγγες τὰ κρέα ἱστᾶσιν ἀπὸ μικροῦ ἀρτήματος μεγάλα βάρη, τοῦ ὅλου ἡμιζυγίου ὄντος; οὗ μὲν γὰρ τὸ βάρος ἐντίθεται, κατήρτηται μόνον ἡ πλάστιγξ, ἐπὶ θάτερον δὲ ἡ φάλαγξ ἐστὶ μόνον. ἢ ὅτι ἅμα συμβαίνει ζυγὸν καὶ μοχλὸν εἶναι τὴν φάλαγγα; ζυγὸν μὲν γάρ, ᾗ τῶν σπαρτίων ἕκαστον γίνεται τὸ κέντρον τῆς φάλαγγος. τὸ μὲν οὖν ἐπὶ θάτερα ἔχει πλάστιγγα, τὸ δὲ ἐπὶ θάτερα ἀντὶ τῆς πλάστιγγος τὸ σφαίρωμα, ὃ τῷ ζυγῷ ἔγκειται, ὥσπερ εἴ τις

1 post μοχλούς in Par. A sequuntur haec scholiastae, ut videtur, verba: ὄργανον ὄν, οὐ τεκτονικόν, ὑπὸ τεσσάρων ποδῶν στηριζόμενον ‖ τὸ Wa ‖ 4 μετ' αὐτοῦ Wa ‖ 5 αὐτὸ Par. A ‖ 7 ἢ ἡ τοῦ PWa, ἥ ἐστι τὸ Par. A ‖ πιέζοντος Par. A: πιεζοῦντος PWa ‖ 10 τὴν] τινα Par. A, at in mg. τὴν ‖ 12 μέγα Wa ‖ 14 post διὰ τί in Par. A minio subducta leguntur haec scholiastae verba male textui inserta: τὸ ἄρτημα τῆς πλάστιγγος κἂν μικρὸν μέρος ἐστὶ τῆς φάλαγγος, διὰ τὴν ἴσην ῥοπὴν ἥμισυ τῆς ὅλης γίνεται φάλαγγος, οὐ γὰρ πρὸς τὸ μέγεθος νῦν τὸ ἥμισυ λαμβάνεται, ἀλλὰ πρὸς τὴν ῥοπήν, τὸ δὲ ἐπὶ τάδε τοῦ σπαρτίου, ἤτοι τὸ ἐφ' ἕτερον αὐτοῦ μέρος τῆς φάλαγγος, ἥμισυ λέγεται τῆς φάλαγγος, κἂν πολλῷ μεῖζόν ἐστι θατέρου μέρους αὐτῆς διὰ τὴν ἰσοῤῥοπίαν ‖ 15 ὁμοζύγου Wa ‖ 18 ἡ Wa ‖ 20 θάτερον Wa utrobique ‖ 21 πρόσκειται Par. A in mg.


τις· ὅταν δὲ περὶ τὸ αὐτὸ κέντρον τεθῶσιν, ἀνάγκη κυλίεσθαι ἀεὶ τὸν ἕτερον ὑπὸ τοῦ ἑτέρου. ἀλλ' οὐθὲν ἧττον οὐ τὴν αὑτοῦ κίνησιν ἅτερος κινεῖται, ἀλλ' ὥσπερ ἂν εἰ μηδεμίαν εἶχε κίνησιν. κἂν ἔχῃ, μὴ χρῆται δ' αὐτῇ, ταὐτὸ συμβαίνει. ὅταν μὲν οὖν ὁ μέγας κινῇ ἐνδεδεμένον τὸν μικρόν, ὁ μικρὸς κινεῖται ὅσηνπερ οὗτος· ὅταν δὲ ὁ μικρός, πάλιν ὁ μέγας ὅσην οὗτος. χωριζόμενος δὲ ἑκάτερος αὐτὸν κινεῖ αὐτός. ὅτι δὲ τοῦ αὐτοῦ κέντρου ὄντος καὶ κινοῦντος τῷ αὐτῷ τάχει συμβαίνει ἄνισον διεξιέναι αὐτοὺς γραμμήν, παραλογίζεται ὁ ἀπορῶν σοφιστικῶς. τὸ αὐτὸ μὲν γάρ ἐστι κέντρον ἀμφοῖν, ἀλλὰ κατὰ συμβεβηκός, ὡς μουσικὸν καὶ λευκόν· τῷ γὰρ εἶναι ἑκατέρου κέντρον τῶν κύκλων οὐ τῷ αὐτῷ χρῆται. ὅταν μὲν οὖν ὁ κινῶν ᾖ ὁ μικρός, ὡς ἐκείνου κέντρον καὶ ἀρχή, ὅταν δὲ ὁ μέγας, ὡς ἐκείνου. οὔκουν τὸ αὐτὸ κινεῖ ἁπλῶς, ἀλλ' ἔστιν ὥς.

Διὰ τί τὰς κλίνας ποιοῦσι διπλασιοπλεύρους, τὴν μὲν 25
b *ἓξ ποδῶν καὶ μικρῷ μείζω πλευράν, τὴν δὲ τριῶν; καὶ διὰ τί ἐντείνουσιν οὐ κατὰ διάμετρον; ἢ τὸ μὲν μέγεθος τηλικαύτας, ὅπως τοῖς σώμασιν ὦσι σύμμετροι; γίνονται γὰρ*

3 *αὑτὴν P* ‖ *ἕτερος W*^{a} ‖ 4 *κἂν γὰρ ἔχῃ* Par. *A* ‖ 5 *οὖν μὲν W*^{a} ‖ *μικρὸς κ.*] *μέγας κ. P W*^{a} ‖ 8 *ὅτε δὲ τοῦ αὖ κέντρου W*^{a} ‖ 9 *π ιλογίζεται W*^{a} ‖ 11 *ὡς*] *ὥσπερ καὶ* Par. *A*, *καὶ W*^{a} ‖ *λευκ/καλόν* Par. *A* ‖ 12 *τῷ* Par. *A*, Cappelle: *τὸ P W*^{a} ‖ *ἑκατέρου κέντρον* Par. *A*, Cappelle: *ἑκάτερον κέντρον W*^{a}, *ἑκατέρου κέντρου P* ‖ 13 *ἢ P* ‖ 15 post *ὡς* sequitur in Par. *A* hoc scholium: *ἐὰν ἐξ αὐτοῦ φησι πέφυκεν ὁ κύκλος κινεῖσθαι, μὴ κινεῖται δὲ ἐξ ἑαυτοῦ, ἀλλ' ὑφ' ἑτέρου, οὐθὲν ἧττον οὐ κινεῖται τὴν ἑαυτοῦ κίνησιν· καὶ ἐπίσης, εἰ κινητός ἐστιν ἐξ αὐτοῦ, κἂν οὐ πέφυκε κινεῖσθαι, μὴ κινεῖται καὶ ἐξ αὐτοῦ κἂν οὐ πέφυκεν. ἀλλ' οὐ πάλιν κινεῖται· καὶ ἔστι φησὶ τὸ ἐξ αὐτοῦ πεφυκὸς κινούμενον* (fort. *κινεῖσθαι* Cappelle) *κινούμενον δὲ ὑπὸ ἄλλου, καὶ μὴ ἐξ αὐτοῦ, ὁμοῖον· κἂν* (fort. *καὶ* Cappelle) *εἰ μὴ δὲ μίαν* (*μηδεμίαν* Cappelle) *εἶχε κίνησιν* ‖ 16 *διὰ τί τὰς κλίνας κ. τ. λ.* hoc caput tam gravibus vitiis adspersum, ut nemo adhuc singula probabiliter restituere potuerit

ὅσῳ δ' ἂν μακρότερον ᾖ τὸ μῆκος τοῦ μοχλοῦ τοῦ ἀπὸ τοῦ ὑπομοχλίου, τοσούτῳ ἐκεῖ μὲν ῥᾷον κινεῖ, ἐνταῦθα δὲ σήκωμα ποιεῖ, καὶ ἵστησι τὸ πρὸς τὸ σφαίρωμα βάρος τῆς φάλαγγος.

21 Διὰ τί οἱ ἰατροὶ ῥᾷον ἐξαιροῦσι τοὺς ὀδόντας προσλαμβάνοντες βάρος τὴν ὀδοντάγραν ἢ τῇ χειρὶ μόνῃ ψιλῇ; πότερον διὰ τὸ μᾶλλον ἐξολισθαίνειν διὰ τῆς χειρὸς τὸν ὀδόντα ἢ ἐκ τῆς ὀδοντάγρας; ἢ μᾶλλον ὀλισθαίνει τῆς χειρὸς ὁ σίδηρος, καὶ οὐ περιλαμβάνει αὐτὸν κύκλῳ· μαλθακὴ γὰρ οὖσα ἡ σὰρξ τῶν δακτύλων καὶ προσμένει μᾶλλον καὶ περιαρμόττει. ἀλλ' ὅτι ἡ ὀδοντάγρα δύο μοχλοί εἰσιν ἀντικείμενοι, ἓν τὸ ὑπομόχλιον ἔχοντες τὴν σύναψιν τῆς θερ-




μαστρίδος· τοῦ ῥᾷον οὖν κινῆσαι χρῶνται τῷ ὀργάνῳ πρὸς τὴν ἐξαίρεσιν. ἔστω γὰρ τῆς ὀδοντάγρας τὸ μὲν ἕτερον ἄκρον, ἐφ' ᾧ τὸ *A*, τὸ δὲ ἕτερον, τὸ *B*, ὃ ἐξαιρεῖ· ὁ δὲ μοχλός, ἐφ' ᾧ *AΔZ*, ὁ δὲ ἄλλος μοχλός, ἐφ' ᾧ *BΓE*, ὑπομόχλιον δὲ τὸ *ΓΘΔ*· ὁ δὲ ὀδούς, ἐφ' οὗ *I* σύναψις· ὁ δὲ

1 τοῦ ἀπὸ] τὸ ἀπὸ *W*ᵃ Par. *A* ‖ 2 ἐκεῖ μὲν] ἐν τῷ μοχλῷ *W*ᵃ ‖ 5 προσλαβόντες *W*ᵃ ‖ 6 ψιλῇ ante τῇ *W*ᵃ ‖ 12 ἔχοντι *W*ᵃ ‖ κερμαστρίδος *P W*ᵃ ‖ τῆς θερμαστρίδος; τοῦ ῥᾷον] τῆς περόνης (at in mg. τῆς θερμαστρίδος; τοῦ ῥᾷον) τῆς συναπτούσης κατὰ τὴν τομὴν τοὺς δύο μοχλούς. τοῦ ῥᾷον Par. *A* ‖ 15 τὸ post ᾧ om. *W*ᵃ ‖ τὸ *B*] ἐφ' ᾧ τὸ ς Par. *A* ‖ 17 ὁ δὲ — p. 121, 1 τὸ βάρος (sic) Par. *A*, ὁ δὲ αὐτὸς τὸ βάρος Cappelle. Totum locum inde a 16 ὑπομόχλιον ita Monantholius restituebat: ὑπομόχλιον δὲ τὸ Θ, ἐφ' οὗ ἡ σύναψις, ὁ δὲ ὀδοὺς τὸ βάρος

τὸ βάρος. ἑκατέρῳ οὖν τῶν ΒΖ καὶ ἅμα λαβὼν κινεῖ. ὅταν δὲ κινήσῃ, ἐξεῖλε ῥᾷον τῇ χειρὶ ἢ τῷ ὀργάνῳ.


22 Διὰ τί τὰ κάρυα ῥᾳδίως καταγνύουσιν ἄνευ πληγῆς ἐν τοῖς ὀργάνοις, ἃ ποιοῦσι πρὸς τὸ καταγνύναι αὐτά; πολλὴ γὰρ ἀφαιρεῖται ἰσχὺς ἡ τῆς φορᾶς καὶ βίας. ἔτι δὲ σκληρῷ καὶ βαρεῖ συνθλίβων θᾶττον ἂν κατάξαι ἢ ξυλίνῳ καὶ κούφῳ τῷ ὀργάνῳ. ἢ διότι οὕτως ἐπ' ἀμφότερα θλίβεται ὑπὸ δύο μοχλῶν τὸ κάρυον, τῷ δὲ μοχλῷ ῥᾳδίως διαιρεῖται τὰ βάρη; τὸ γὰρ ὄργανον ἐκ δύο σύγκειται μοχλῶν, ὑπομόχλιον ἐχόν- 4b των τὸ αὐτό, τὴν συναφήν, ἐφ' ἧς τὸ Α. ὥσπερ οὖν εἰ ἦσαν ἐκβεβλημέναι, ὑφ' ὧν κινουμένων εἰς τὰ τῶν ΓΔ



ἄκρα αἱ ΕΖ συνήγοντο ῥᾳδίως ἀπὸ μικρᾶς ἰσχύος· ἣν οὖν ἐν τῇ πληγῇ τὸ βάρος ἐποίει, ταύτην ἢ κρείττονα ταύτης, αἱ τὸ ΕΓ καὶ ΖΔ, μοχλοὶ ὄντες ποιοῦσι· τῇ ἄρσει γὰρ εἰς τοὐναντίον αἴρονται, καὶ θλίβοντες καταγνύουσι τὸ ἐφ' ᾧ

4 post αὐτὰ sequuntur in Par. *A*, sed parenthesi inclusa, haecce: οὐ γὰρ ἔχει ἰσχὺν τὸ τοιοῦτον ὄργανον, ἀλλὰ θλίβει μόνον ‖ 5 ἀφερεῖ *P* ‖ ἡ ἰσχὺς ἡ *W*a ‖ 6 κατάξῃ *P W*a Par. *A* ‖ 7 ἀμφότερον *W*a ‖ 10 ἡ *W*a ‖ ὥσπερ — 12 ἰσχύος sic legisse videtur Leonicenus: ὥσπερ οὖν ἦσαν ἐκβεβλημέναι, αὐτῶν κινουμένων εἰς τὰ τῶν γδ ἄκρα, αἱ εζ συνάγονται ῥᾳδίως ἀπὸ μικρᾶς ἰσχύος, quam lectionem probat Cappelle, nisi quod pro ὑφ' ὧν (αὐτῶν) potius legi vult ἄκρων ‖ 10 οὖν εἴησαν *P W*a ‖ 12 αἱ] τὰ Par. *A* ‖ συνήγονται Par. *A*, ut videtur ‖ 13 ἢ κρείττονα Par. *A*, Cappelle: ἡ κρείττων *P W*a ‖ post ταύτης in Par. *A* est punctum; deinde subiciuntur haecce: ὁ γὰρ μοχλὸς ἰσχυρότερος τῆς πληγῆς πρὸς τὸ κινεῖν καὶ ἀνασπᾶν βάρη μεγάλα. Scholium ad κρείττονα ταύτης, ut recte iudicat Cappelle ‖ 14 αἱ Par. *A*: ἡ *P W*a ‖ ΕΓ] εξ Par. *A* ‖ 15 αἴροντες *W*a Par. *A*

Κ. δι' αὐτὸ δὲ τοῦτο καὶ ὅσῳ ἂν ἐγγύτερον ᾖ τῆς *Α* τὸ *Κ*, συντρίβεται θᾶττον· ὅσῳ γὰρ ἂν πλεῖον ἀπέχῃ τοῦ ὑπομοχλίου ὁ μοχλός, ῥᾷον κινεῖ καὶ πλεῖον ἀπὸ τῆς ἰσχύος τῆς αὐτῆς. ἔστιν οὖν τὸ μὲν *Α* ὑπομόχλιον, ἡ δὲ *ΔΑΖ* μοχλός, καὶ ἡ *ΓΑΕ*. ὅσῳ ἂν οὖν τὸ *Κ* ἐγγυτέρω ᾖ τῆς γωνίας τοῦ *Α*, τοσούτῳ ἐγγύτερον γίνεται τῆς συναφῆς τῆς *Α*· τοῦτο δέ ἐστι τὸ ὑπομόχλιον. ἀνάγκη τοίνυν ἀπὸ τῆς αὐτῆς ἰσχύος συναγούσης τὰ *ΖΕ* αἴρεσθαι πλέον. ὥστε ἐπεί ἐστιν ἐξ ἐναντίας ἡ ἄρσις, ἀνάγκη θλίβεσθαι μᾶλλον· τὸ δὲ μᾶλλον θλιβόμενον κατάγνυται θᾶττον.



23 Διὰ τί φερομένων δύο φορὰς ἐν τῷ ῥόμβῳ τῶν ἄκρων σημείων ἀμφοτέρων, οὐ τὴν ἴσην ἑκάτερον αὐτῶν εὐθεῖαν διέρχεται, ἀλλὰ πολλαπλασίαν θάτερον; ὁ αὐτὸς δὲ λόγος καὶ διὰ τί τὸ ἐπὶ τῆς πλευρᾶς φερόμενον ἐλάττω διέρχεται τῆς πλευρᾶς. τὸ μὲν γὰρ τὴν διάμετρον τὴν ἐλάττω, ἡ δὲ τὴν πλευρὰν τὴν μείζω, καὶ ἣ μὲν μίαν, τὸ δὲ δύο φέρεται φοράς. φερέσθω γὰρ ἐπὶ τῆς *ΑΒ* τὸ μὲν *Α* πρὸς τὸ *Β*, τὸ δὲ *Β* πρὸς τὸ *Α* τῷ αὐτῷ τάχει· φερέσθω δὲ καὶ ἡ *ΑΒ* ἐπὶ

2 συντρίβηται Par. *A* ‖ 4 ἔστι μὲν οὖν τὸ α *W*a ‖ 6 τοῦ Par. *A*, Cappelle: τῶν *PW*a ‖ τῆς *Α* Cappelle e Par. *B*: τοῦ *W*a Par. *A*, τῶν *P* ‖ 7 τοῦτο] τοῦ *PW*a ‖ 8 τὰ Par. *A*, Cappelle: τὸ *PW*a ‖ 9 εὕρεσις *W*a ‖ 17 τί] τὸ *P* ‖ 19 φο πλευρᾶς (φο superscr.) Par. *A* ‖ τὸ μὲν γὰρ — 21 πλευρὰν] horum loco in Par. *A* haec leguntur: οἷον τὸ μὲν γὰρ τὸ α τὴν διάμετρον τὴν ἐλάτττω (mg. γρ. μείζω), οἷον τὴν αδ τὴν ἀπὸ τῆς ἀμβλείας γωνίας εἰς τὴν ἀμβλείαν δίχα τέμνουσα τὴν ῥόμβον· ἡ δὲ αβ πλευρά. ἡ δὲ τὴν πλευράν. Sic. ‖ 24 τὸ *Α* Cappelle: τὸ *Δ* vulgo

τῆς ΑΓ παρὰ τὴν ΓΔ τῷ αὐτῷ τάχει τούτοις. ἀνάγκη δὴ τὸ μὲν Α ἐπὶ τῆς ΑΔ διαμέτρου φέρεσθαι, τὸ δὲ Β ἐπὶ τῆς ΒΓ, καὶ ἅμα διεληλυθέναι ἑκατέραν, καὶ τὴν ΑΒ τὴν ΑΓ πλευράν. ἐνηνέχθω γὰρ τὸ μὲν Α τὴν ΑΕ, ἡ δὲ ΑΒ τὴν ΑΖ, καὶ ἔστω ἐκβεβλημένη ἡ ΖΗ παρὰ τὴν ΑΒ, καὶ ἀπὸ τοῦ Ε πεπληρώσθω. ὅμοιον οὖν γίνεται τὸ παραπληρωθὲν τῷ ὅλῳ. ἴση ἄρα ἡ ΑΖ τῇ ΑΕ, ὥστε τὸ Α ἐπὶ τῆς πλευρᾶς ἐνήνεκται τῆς ΑΕ. ἡ δὲ ΑΒ τὴν ΑΖ εἴη ἂν ἐνηνεγμένη. ἔσται ἄρα ἐπὶ τῆς διαμέτρου κατὰ τὸ Θ. καὶ αἰεὶ δὲ ἀνάγκη αὐτὸ φέρεσθαι κατὰ τὴν διάμετρον. καὶ ἅμα ἡ πλευρὰ ἡ ΑΒ τὴν πλευρὰν τὴν ΑΓ δίεισι, καὶ τὸ Α τὴν διάμετρον δίεισι τὴν ΑΔ. ὁμοίως δὲ δειχθήσεται καὶ τὸ Β ἐπὶ τῆς ΒΓ διαμέτρου φερόμενον. ἴση γάρ ἐστιν ἡ ΒΕ τῇ ΒΗ. παραπληρωθέντος οὖν ἀπὸ τοῦ Η, ὅμοιόν ἐστι τῷ ὅλῳ τὸ ἐντός. καὶ τὸ Β ἐπὶ τῆς διαμέτρου ἔσται 855a κατὰ τὴν σύναψιν τῶν πλευρῶν, καὶ ἅμα δίεισιν ἥ τε πλευρὰ τὴν πλευρὰν καὶ τὸ Β τὴν ΒΓ διάμετρον. ἅμα ἄρα καὶ τὸ Β τὴν πολλαπλασίαν τῆς ΑΒ δίεισι καὶ ἡ πλευρὰ τὴν ἐλάττονα πλευράν, τῷ αὐτῷ τάχει φερόμενα, καὶ ἡ πλευρὰ μείζω τοῦ Α διελήλυθε μίαν φορὰν φερομένη. ὅσῳ γὰρ ἂν ὀξύτερος γένηται ὁ ῥόμβος, ἡ μὲν ΑΔ διάμετρος ἡ ἐλάττων γίνεται, ἡ δὲ ΒΓ μείζων, ἡ δὲ πλευρὰ τῆς ΒΓ ἐλάττων. ἄτοπον γάρ, ὥσπερ ἐλέχθη, τὸ δύο φορὰς φερόμενον ἐνίοτε βραδύτερον φέρεσθαι τοῦ μίαν, καὶ ἀμφοτέρων ἰσοταχῶν σημείων δοθέντων μείζω διεξιέναι θάτερον. αἴτιον δὲ ὅτι


4 πλευράν] πλείω P W^a || post πλευράν Monantholius add. καὶ τὴν βδ τὴν βα || τὴν αεχαβ ἡ δὲ τὴν αζ P || 5 περὶ W^a || 6 παραπεπληρώσθω Par. Α || 8 τῆς ΑΕ] τὴν αε Par. Α || τὴν — 9 ἐνηνεγμένη om. Par. Α, ut videtur || 11 δίεισι καὶ τὸ Α et 12 δίεισι — 13 διαμέτρου om. W^a || 13 ΒΓ Cappelle: αγ codd. || ὅση W^a || 15 Β om. W^a || 19 φερομένη Par. Α || ἡ om. W^a || 21 γεγένηται Par. Α || ἡ μὲν ΑΔ διάμετρος Cappelle e Par. Β: ἡ μὲν διάμετρος ἡ αδ Par. Α, ἡ μὲν διάμετρος P W^a || 23 τὸ om. W^a

τοῦ μὲν ἀπὸ τῆς ἀμβλείας φερομένου σχεδὸν ἐναντίαι ἀμφότεραι γίνονται, ἥν τε αὐτὴ φέρεται καὶ ἣν ὑπὸ τῆς πλευρᾶς ὑποφέρεται, τοῦ δὲ ἀπὸ τῆς ὀξείας ὥσπερ συμβαίνει φέρεσθαι ἐπὶ τὸ αὐτό. συνεπουρίζει γὰρ ἡ τῆς πλευρᾶς τὴν ἐπὶ τῆς διαμέτρου· καὶ ὅσῳ ἂν τὴν μὲν ὀξυτέραν ποιήσῃ, τὴν δὲ ἀμβλυτέραν, ἡ μὲν βραδυτέρα ἔσται, ἡ δὲ θάττων. αἱ μὲν γὰρ ἐναντιώτεραι γίνονται διὰ τὸ ἀμβλυτέραν γίνεσθαι τὴν γωνίαν, αἱ δὲ μᾶλλον ἐπὶ τὰ αὐτὰ διὰ τὸ συνάγεσθαι τὰς γραμμάς. τὸ μὲν γὰρ *B* σχεδὸν ἐπὶ τὸ αὐτὸ φέρεται κατ' ἀμφοτέρας τὰς φοράς· συνεπουρίζεται οὖν ἡ ἑτέρα, καὶ ὅσῳ ἂν ὀξυτέρα γίνηται ἡ γωνία, τοσούτῳ μᾶλλον. τὸ *A* δὲ ἐπὶ τοὐναντίον· αὐτὸ μὲν γὰρ πρὸς τὸ *B* φέρεται, ἡ δὲ πλευρὰ ὑποφέρει αὐτὸ πρὸς τὸ *Δ*. καὶ ὅσῳ ἂν ἀμβλυτέρα ἡ γωνία ᾖ, ἐναντιώτεραι αἱ φοραὶ γίνονται· εὐθυτέρα γὰρ ἡ γραμμὴ γίνεται. εἰ δ' ὅλως εὐθεῖα γένοιτο, παντελῶς ἂν εἴησαν ἐναντίαι. ἡ δὲ πλευρὰ ὑπ' οὐθενὸς κωλύεται μίαν φερομένη φοράν. εὐλόγως οὖν τὴν μείζω διέρχεται.

24 Ἀπορεῖται διὰ τί ποτε ὁ μείζων κύκλος τῷ ἐλάττονι κύκλῳ ἴσην ἐξελίττεται γραμμήν, ὅταν περὶ τὸ αὐτὸ κέντρον τεθῶσι; χωρὶς δὲ ἐκκυλιόμενοι, ὥσπερ τὸ μέγεθος αὐτῶν πρὸς τὸ μέγεθος ἔχει, οὕτως καὶ αἱ γραμμαὶ αὐτῶν γίνονται πρὸς ἀλλήλας. ἔτι δὲ ἑνὸς καὶ τοῦ αὐτοῦ κέντρου ὄντος

1 post φερομένου lineola subductum legitur in Par. *A* hoc scholium: τὸ σχεδὸν εἶπεν ὅτι οὐ πάντοτέ ἐστιν ἐναντία ἡ ἐπὶ τῆς πλευρᾶς τοῦ σημείου τῆς ἀμβλείας γωνίας φορὰ τῇ φορᾷ τῆς πλευρᾶς. τότε δὲ γίνεται πᾶν τὸ ἐναντίον, ὅταν ἐφαρμόσῃ ἡ πλευρὰ τῇ διαμέτρῳ ‖ 3 ὥσπερ add. Par. *A* ‖ 9 *B* om. Par. *A* ‖ 10 συνεπ$^{ου}_{ο}$ρίζεται Par. *A* ‖ 11 ὀξυτέρα om. Par *A* ‖ 14 εὐθύτερον *W*a ‖ 18 post ἀπορεῖται add. δὲ Par. *A* ‖ 19 ἐξελίττεται τὴν γραμμὴν *W*a Par. *A* ‖ κέντρω *W*a ‖ 20 ὥσπερ — 22 ἀλλήλας] Par. *A* in contextu haec habet: ὥσπερ (adscriptum est in mg. γρ. ὥσπερ τὸ μέγεθος αὐτῶν πρὸς τὸ μέγεθος ἔχει, οὕτω κ. τ. λ. ut in editis) τὸ τοῦ μεγάλου μέγεθος πρὸς τὸ τοῦ μικροῦ ἔχει, οὕτω καὶ αἱ γραμμαὶ αἳ ἐξελίττονται, ὅταν ὦσιν οἱ κύκλοι

ἀμφοῖν, ὁτὲ μὲν τηλικαύτη γίνεται ἡ γραμμή, ἣν ἐκκυλίονται, ἡλίκην ὁ ἐλάττων κύκλος καθ' αὑτὸν ἐκκυλίεται, ὁτὲ δὲ ὅσην ὁ μείζων. ὅτι μὲν οὖν μείζω ἐκκυλίεται ὁ μείζων, φανερόν. γωνία μὲν γὰρ δοκεῖ κατὰ τὴν αἴσθησιν εἶναι ἡ περιφέρεια ἑκάστου τῆς οἰκείας διαμέτρου, ἡ τοῦ μείζονος κύκλου μείζων, ἡ δὲ τοῦ ἐλάττονος ἐλάττων, ὥστε τὸν αὐτὸν τοῦτον ἕξουσι λόγον, καθ' ἃς ἐξεκυλίσθησαν αἱ γραμμαὶ πρὸς ἀλλήλας κατὰ τὴν αἴσθησιν. ἀλλὰ μὴν καὶ ὅτι τὴν ἴσην ἐκκυλίονται, ὅταν περὶ τὸ αὐτὸ κέντρον κείμενοι ὦσι, δῆλον· καὶ οὕτως γίνεται ὁτὲ μὲν ἴση τῇ γραμμῇ, ἣν ὁ μείζων κύκλος ἐκκυλίεται, ὁτὲ δὲ τῇ, ἣν ὁ ἐλάττων. ἔστω γὰρ κύκλος ὁ μείζων μὲν ἐφ' οὗ τὰ ΔΖΓ, ὁ δὲ ἐλάττων ἐφ'



οὗ τὰ ΕΗΒ, κέντρον δὲ ἀμφοῖν τὸ Α· καὶ ἣν μὲν ἐξελίττεται καθ' αὑτὸν ὁ μέγας, ἡ ἐφ' ἧς ΖΙ ἔστω, ἣν δὲ ὁ ἐλάττων καθ' αὑτόν, ἡ ἐφ' ἧς ΗΚ, ἴση τῇ ΖΛ. ἐὰν δὴ

διῃρημένοι, καὶ μὴ ἓν καὶ τὸ αὐτὸ ἔχονται κέντρον· εἰ γὰρ ὁ μείζων κύκλος τοῦ ἐλάσσονος διπλάσιος, καὶ ἡ γραμμὴ διπλασία, ἣν ἐξελίττει οὗτος ‖ 5 ἡ τοῦ] ἢ τοῦ Par. A ‖ 6 ἡ δὲ τοῦ ἐλάττονος ἐλάττων om. PW^a ‖ 11 ὁτὲ δὲ τῇ, ἣν ὁ ἐλάττων Cappelle: ὅτε δὲ τήν, ἣν ὁ ἐλάττων Par. A, ὁτὲ δὲ ἐλάττων PW^a ‖ 14 αὐτὸ P ‖ ἢ ἐφ' οἷς PW^a ‖ Ζ] τί W^a ‖ δή P ‖ 15 ἥ W^a ‖ ΖΛ Cappelle: αξ PW^a, αλ Par. A ‖ δὲ W^a

κινῶ τὸν ἐλάττονα, τὸ αὐτὸ κέντρον κινῶ, ἐφ' οὗ τὸ Α· ὁ δὲ μέγας προσηρμόσθω. ὅταν οὖν ἡ ΑΒ ὀρθὴ γένηται πρὸς τὴν ΗΚ, ἅμα καὶ ἡ ΑΓ γίνεται ὀρθὴ πρὸς τὴν ΖΛ, ὥστε ἔσται ἴσην ἀεὶ διεληλυθυῖα, τὴν μὲν ΗΚ, ἐφ' ἧς ΗΒ περιφέρεια, τὴν δὲ ΖΛ ἡ ἐφ' ἧς ΖΓ. εἰ δὲ τὸ τέταρτον μέρος ἴσην ἐξελίττεται, δῆλον ὅτι καὶ ὁ ὅλος κύκλος τῷ ὅλῳ κύκλῳ ἴσην ἐξελιχθήσεται, ὥστε ὅταν ἡ ΒΗ γραμμὴ ἔλθῃ ἐπὶ τὸ Κ, καὶ ἡ ΖΓ ἔσται περιφέρεια ἐπὶ τῆς ΖΛ, καὶ ὁ κύκλος ὅλος ἐξειλιγμένος. ὁμοίως δὲ καὶ ἐὰν τὸν μέγαν κινῶ, ἐναρμόσας τὸν μικρόν, τοῦ αὐτοῦ κέντρου ὄντος, ἅμα τῇ ΑΓ ἡ ΑΒ κάθετος καὶ ὀρθὴ ἔσται, ἡ μὲν πρὸς τὴν ΖΙ, ἡ δὲ πρὸς τὴν ΗΘ. ὥστε ὅταν ἴσην ἡ μὲν τῇ ΗΘ ἔσται διεληλυθυῖα, ἡ δὲ τῇ ΖΙ, καὶ γένηται ὀρθὴ πάλιν ἡ ΖΑ πρὸς τὴν ΖΛ, καὶ ἡ ΑΗ ὀρθὴ πάλιν πρὸς τὴν ΗΚ, ὡς τὸ ἐξ ἀρχῆς ἔσονται ἐπὶ τῶν ΘΙ. τὸ δὲ μήτε στάσεως γινομένης τοῦ μείζονος τῷ ἐλάττονι, ὥστε μένειν τινὰ χρόνον ἐπὶ τοῦ αὐτοῦ σημείου (κινοῦνται γὰρ συνεχῶς ἄμφω ἀμφο-

1 *αὐτοῦ* Par. *A* ‖ *κινῶν ἐφ'* *PW*ᵃ ‖ 2 *γεγένηται* Par. *A*, Cappelle ‖ 3 *ἡ ΑΓ*] *αι* *W*ᵃ ‖ 4 *ἐφ' ἧς* Par. *A*, Cappelle: *ἐφ' ᾧ* *PW*ᵃ ‖ 5 *ΗΒ* *PW*ᵃ: *β* Par. *A* ‖ 7 *ἐξελεχθήσεται* *W*ᵃ ‖ *ΒΗ*] *ηα* Par. *A* ‖ 8 *περιφέρεια* om. *W*ᵃ ‖ *ΖΛ*] *γλ* *W*ᵃ ‖ 12 *ΗΘ*] *κθ* *W*ᵃ ‖ 14 *ἡ αη ὀρθὴ πάλιν πρὸς τὴν ηκ* Par. *A*: *ἡ αγ ὀρθὴ πάλιν* *PW*ᵃ ‖ 15 post *ΘΙ* in Par. *A* sequuntur lineolis subducta haecce: *τὸ μὴ γενέσθαι στάσιν τοῦ μείζονος τῆς κινήσεως ἐν τῷ κινεῖσθαι τὸν ἐλάττονα, φησίν, ὥστε μένειν τὸν μείζονα τινὰ χρόνον ἐπὶ τοῦ αὐτοῦ σημείου, ἀμφοτέρων συνεχῶς κινουμένων, ἄτοπον· καὶ καθ' ἕκαστον τρόπον τῆς κινήσεως, ἢ κινουμένου μὲν τοῦ ἐλάττονος, ἐνηρμοσμένου δὲ ἐν αὐτῷ τοῦ μείζονος· ἢ τοῦ ἀνάπαλιν κινουμένου μὲν τοῦ μείζονος, ἐνηρμοσμένου δὲ ἐν αὐτῷ τοῦ ἐλάττονος· ἀμφότεροι γὰρ συνεχῶς κινοῦνται, καὶ στάσις οὐδεμία γίνεται τοῦ μείζονος. τὸ δὲ ἀμφοτεράκις εἴρηται* ἀντὶ / ἀπο *τοῦ ἀμφοτέρως ἐπ' ἑκάτερα χρησάμενος. ὁμοίως τοῦ πλεόνος* (sic) *τοῦ πλεονάκις*. Pertinet scholium ad subiecta proxima verba *τὸ δὲ μήτε στάσεως κ. τ. λ.* Cappelle ‖ 16 *τοῦ μείζονος* Par. *A*, Cappelle: *τὸ μεῖζον* *PW*ᵃ ‖ sub *τῷ ἐλάττονι* in Par. *A* sunt puncta ‖ μένειν] μὲν Wᵃ

τεράκις) μήτε ὑπερπηδῶντος τοῦ ἐλάττονος μηθὲν σημεῖον, τὸν μὲν μείζω τῷ ἐλάττονι ἴσην διεξιέναι, τὸν δὲ τῷ μείζονι, ἄτοπον. ἔτι δὲ μιᾶς κινήσεως οὔσης ἀεὶ τὸ κέντρον τὸ κινούμενον ὁτὲ μὲν τὴν μεγάλην, ὁτὲ δὲ τὴν ἐλάττονα ἐκκυλίεσθαι θαυμαστόν. τὸ γὰρ αὐτὸ τῷ αὐτῷ τάχει φερόμενον ἴσην πέφυκε διεξιέναι· τῷ αὐτῷ δὲ τάχει ἴσην ἐστὶ κινεῖν ἀμφοτεράκις. ἀρχὴ δὲ ληπτέα ἥδε περὶ τῆς αἰτίας αὐτῶν, ὅτι ἡ αὐτὴ δύναμις καὶ ἴση τὸ μὲν βραδύτερον κινεῖ μέγεθος, τὸ δὲ ταχύτερον. εἰ δή τι εἴη ὃ μὴ πέφυκεν ὑφ' ἑαυτοῦ κινεῖσθαι, ἐὰν τοῦτο ἅμα καὶ αὐτὸ κινῇ τὸ πεφυκὸς κινεῖσθαι, βραδύτερον κινηθήσεται ἢ εἰ αὐτὸ καθ' αὑτὸ ἐκινεῖτο. καὶ ἐὰν μὲν πεφυκὸς ᾖ κινεῖσθαι, μὴ συγκινῆται δὲ μηθέν, ὡσαύτως ἕξει. καὶ ἀδύνατον δὴ κινεῖσθαι πλέον ἢ τὸ κινοῦν· οὐ γὰρ τὴν αὐτοῦ κινεῖται κίνησιν, ἀλλὰ
6ª τὴν τοῦ κινοῦντος. εἴη δὴ κύκλος ὁ μὲν μείζων ἐφ' ᾧ Α, ὁ δὲ ἐλάττων ἐφ' ᾧ Β. εἰ ὠθοίη δ' ὁ ἐλάττων τὸν μείζω, μὴ κυλιομένου αὐτοῦ, φανερὸν ὅτι τοσοῦτον δίεισι τῆς εὐθείας ὁ μείζων, ὅσον ἐώσθη ὑπὸ τοῦ ἐλάττονος. τοσοῦτον δέ γε ἐώσθη, ὅσον ὁ μικρὸς ἐκινήθη. ἴσην ἄρα τὴν εὐθεῖαν διελη-

1 μήτε Par. *A*, Cappelle: μέν *W*ª, μὴ *P* ‖ 2 ἴσην expellendum censet M. Hayduck prgr. Meldorf 1877 ‖ post τὸν δὲ Par. *A* inserit ἐλάττω ‖ μείζω *P* ‖ 3 μιᾶς] μὴ Par. *A* ‖ 8 ὅτε *W*ª ‖ καὶ ἴση et 9 κινεῖ μέγεθος om. *W*ª ‖ pro τὸ μὲν βραδύτερον — 9 τὸ δὲ ταχύτερον Par. *A* haec: τὸ μὴ πεφυκὸς κινεῖσθαι ἐξ αὐτοῦ κιν{εῖ/ήσεως} μέγεθος. τὸ μὲν βραδύτερον, τὸ ἐξ αὐτοῦ κινούμενον· τὸ δὲ ταχύτερον ‖ 10 τοῦτο] τοῦ *PW*ª ‖ αὐτὸ Par. *A*, Cappelle: αὐτὸ *PW*ª ‖ 11 εἰ] ἡ *PW*ª ‖ αὐτὸ καθ' ἑαυτὸ Par. *A*, Cappelle: αὐτὴ καθ' αὐτὴν *PW*ª ‖ 12 συγκινῆται] κινῆται *W*ª, συγκινεῖται Par. *A* ‖ 13 δὴ] δὲ Par. *A* ‖ 14 αὐτοῦ] αὐτὴν *P* ‖ ἀλλὰ τὴν τοῦ κινοῦντος· εἴη δὴ] εἰ δὴ *PW*ª Par. *A*, sed in mg. Par. *A* ἀλλὰ τὴν τοῦ κινοῦντος. ἔστω. Pro codicum εἰ dederunt εἴη Sylburg aliique sequentes Leoniceni versionem ‖ 15 ἐφ' ᾧ α Par. *A*: ἡ α *W*ª, τὸ α *P* ‖ 18 ὑπὸ τοῦ ἐλάττονος om. *PW*ª ‖ 19 τὴν εὐθεῖαν Cappelle, ut ante eum nescio quis: τῆς εὐθείας codd.

λύθασιν. ἀνάγκη τοίνυν καὶ εἰ κυλιόμενος ὁ ἐλάττων τὸν μείζω ὠθοίη, κυλισθῆναι μὲν ἅμα τῇ ὤσει, τοσοῦτον δ' ὅσον ὁ ἐλάττων ἐκυλίσθη, εἰ μηθὲν αὐτὸς τῇ αὑτοῦ κινήσει κινεῖται. ὡς γὰρ καὶ ὅσον ἐκίνει τὸ κινοῦν, τοσοῦτον κεκινῆσθαι ἀνάγκη τὸ κινούμενον ὑπ' ἐκείνου. ἀλλὰ μὴν ὅ τε κύκλος τοσοῦτον ἐκίνησε τὸ αὐτό, κύκλῳ τε καὶ ποδιαίαν (ἔστω γὰρ τοσοῦτον ὃ ἐκινήθη), καὶ ὁ μέγας ἄρα τοσοῦτον ἐκινήθη. ὁμοίως δὲ κἂν ὁ μέγας τὸν μικρὸν κινήσῃ, ἔσται κεκινημένος ὁ μικρὸς ὡς καὶ ὁ μείζων. καθ' αὑτὸν μὲν δὴ κινηθεὶς ὁποτεροσοῦν, ἐάν τε ταχὺ ἐάν τε βραδέως· τῷ αὐτῷ δὲ τάχει εὐθὺς ὅσην ὁ μείζων πέφυκεν ἐξελιχθῆναι γραμμήν. ὅπερ καὶ ποιεῖ τὴν ἀπορίαν, ὅτι οὐκέτι ὁμοίως ποιοῦσιν, ὅταν συναρμοσθῶσιν. τὸ δ' ἔστιν, εἰ ὁ ἕτερος ὑπὸ τοῦ ἑτέρου κινεῖται οὐχ ἣν πέφυκεν, οὐδὲ τὴν αὑτοῦ κίνησιν. οὐθὲν γὰρ διαφέρει περιθεῖναι καὶ ἐναρμόσαι ἢ προσθεῖναι ὁποτερονοῦν ὁποτέρῳ· ὁμοίως γάρ, ὅταν ὁ μὲν κινῇ, ὁ δὲ κινῆται ὑπὸ τούτου, ὅσον ἂν κινῇ ἅτερος, τοσοῦτον κινηθήσεται ἅτερος. ὅταν μὲν οὖν προσκείμενον κινῇ ἢ προσκρεμάμενον, οὐκ ἀεὶ κυλίει

2 *ἅμα — ὅσον*] *τὸν μείζω τῇ ὤσει. τοσοῦτον δὲ ὅσον* Par. *A* ‖ 3 *αὑτοῦ* Par. *A*, Cappelle: *αὐτῇ* *PW*a ‖ 4 *τὸ κινοῦν* add. Par. *A*, Cappelle ‖ 5 *τε*] *B* scribendum censet M. Hayduck l. l., *γε* Bussemaker ‖ post *κύκλος* add. Par. *A* *ὁ μικρός* ‖ 6 *τὸ αὐτὸ*] *ταύτῃ* M. Hayduck l. l., *τὸ τοιοῦτο* Bussemaker ‖ *τὸ αὐτὸ — ποδιαίαν*] *τὸ αὐτοῦ κύκλῳ ὅσον ἡμισείαν καὶ ποδιαίαν* Par. *A* ‖ 7 *καὶ ὁ — ἐκινήθη* om. *W*a ‖ 9 *ὁποτερωσοῦν* M. Hayduck l. l. ‖ 12 post *ἀπορίαν* sequuntur in Par. *A* lineolis subducta haecce: *ἵνα οὐκ ἐξελίσσονται, ἣν πεφύκασιν ἰδίως ἑκάτερος, ἀλλ' ἐκείνην ἅτερος κινεῖται, ἣν ἅτερος κινεῖ.* Scholium, ut videtur ‖ *ὅτε* *W*a ‖ 14 *αὐτοῦ* Par. *A* ‖ *οὐθὲν — 15 περιθεῖναι*] *οὐθὲν γὰρ διαφέρει περί. τὸ μὲν περιθεῖναι ἐπὶ τοῦ μείζονος· ἡ γὰρ παράθεσις* (*περίθεσις* Cappelle) *τὴν ἔξω θέσιν δηλοῖ. ὡς τὸ περιέλαβεν καὶ περιέπλεξε· τὸ δὲ ἐναρμόσαι ἐπὶ τοῦ ἐλάττονος· ἡ γὰρ ἐν πρόθεσις ἐν ταῖς τῶν ῥημάτων συνθέσεσι τὴν ἴσην* (*εἴσω* Cappelle) *θέσιν δηλοῖ. ὡς τὸ ἐνέβαλε καὶ ἐνέθηκα. θεῖναι.* Sic Par. *A*, nisi quod scholii verba inde a *τὸ μὲν* subductis lineolis a textu distinxit librarius ‖ 15 *ὁποτέρων* *W*a ‖ 18 *κινεῖ* *Par. A*

τις· ὅταν δὲ περὶ τὸ αὐτὸ κέντρον τεθῶσιν, ἀνάγκη κυλίεσθαι ἀεὶ τὸν ἕτερον ὑπὸ τοῦ ἑτέρου. ἀλλ' οὐθὲν ἧττον οὐ τὴν αὑτοῦ κίνησιν ἅτερος κινεῖται, ἀλλ' ὥσπερ ἂν εἰ μηδεμίαν εἶχε κίνησιν. κἂν ἔχῃ, μὴ χρῆται δ' αὐτῇ, ταὐτὸ συμβαίνει. ὅταν μὲν οὖν ὁ μέγας κινῇ ἐνδεδεμένον τὸν μικρόν, ὁ μικρὸς κινεῖται ὅσηνπερ οὗτος· ὅταν δὲ ὁ μικρός, πάλιν ὁ μέγας ὅσην οὗτος. χωριζόμενος δὲ ἑκάτερος αὐτὸν κινεῖ αὐτός. ὅτι δὲ τοῦ αὐτοῦ κέντρου ὄντος καὶ κινοῦντος τῷ αὐτῷ τάχει συμβαίνει ἄνισον διεξιέναι αὐτοὺς γραμμήν, παραλογίζεται ὁ ἀπορῶν σοφιστικῶς. τὸ αὐτὸ μὲν γάρ ἐστι κέντρον ἀμφοῖν, ἀλλὰ κατὰ συμβεβηκός, ὡς μουσικὸν καὶ λευκόν· τῷ γὰρ εἶναι ἑκατέρου κέντρον τῶν κύκλων οὐ τῷ αὐτῷ χρῆται. ὅταν μὲν οὖν ὁ κινῶν ᾖ ὁ μικρός, ὡς ἐκείνου κέντρον καὶ ἀρχή, ὅταν δὲ ὁ μέγας, ὡς ἐκείνου. οὔκουν τὸ αὐτὸ κινεῖ ἁπλῶς, ἀλλ' ἔστιν ὥς.

Διὰ τί τὰς κλίνας ποιοῦσι διπλασιοπλεύρους, τὴν μὲν 25
6b ἓξ ποδῶν καὶ μικρῷ μείζω πλευράν, τὴν δὲ τριῶν; καὶ διὰ τί ἐντείνουσιν οὐ κατὰ διάμετρον; ἢ τὸ μὲν μέγεθος τηλικαύτας, ὅπως τοῖς σώμασιν ὦσι σύμμετροι; γίνονται γὰρ

3 αὐτὴν *P* ‖ ἕτερος *W*ᵃ ‖ 4 κἂν γὰρ ἔχῃ Par. *A* ‖ 5 οὖν μὲν *W*ᵃ ‖ μικρὸς κ.] μέγας κ. *PW*ᵃ ‖ 8 ὅτε δὲ τοῦ αὖ κέντρου *W*ᵃ ‖ 9 π ιλογίζεται *W*ᵃ ‖ 11 ὡς] ὥσπερ καὶ Par. *A*, καὶ *W*ᵃ ‖ $\overset{λευκ}{καλ}$όν Par. *A* ‖ 12 τῷ Par. *A*, Cappelle: τὸ *PW*ᵃ ‖ ἑκατέρου κέντρον Par. *A*, Cappelle: ἑκάτερον κέντρον *W*ᵃ, ἑκατέρου κέντρου *P* ‖ 13 ἢ *P* ‖ 15 post ὡς sequitur in Par. *A* hoc scholium: ἐὰν ἐξ αὐτοῦ φησὶ πέφυκεν ὁ κύκλος κινεῖσθαι, μὴ κινεῖται δὲ ἐξ ἑαυτοῦ, ἀλλ' ὑφ' ἑτέρου, οὐθὲν ἧττον οὐ κινεῖται τὴν ἑαυτοῦ κίνησιν· καὶ ἐπίσης, εἰ κινητός ἐστιν ἐξ αὐτοῦ, κἂν οὐ πέφυκε κινεῖσθαι, μὴ κινεῖται καὶ ἐξ αὐτοῦ κἂν οὐ πέφυκεν. ἀλλ' οὐ πάλιν κινεῖται· καὶ ἔστι φησὶ τὸ ἐξ αὐτοῦ πεφυκὸς κινούμενον (fort. κινεῖσθαι Cappelle) κινούμενον δὲ ὑπὸ ἄλλου, καὶ μὴ ἐξ αὐτοῦ, ὁμοῖον· κἂν (fort. καὶ Cappelle) εἰ μὴ δὲ μίαν (μηδεμίαν Cappelle) εἶχε κίνησιν ‖ 16 διὰ τί τὰς κλίνας κ. τ. λ. hoc caput tam gravibus vitiis adspersum, ut nemo adhuc singula probabiliter restituere potuerit

οὕτω διπλασιόπλευροι, τετραπήχεις μὲν τὸ μῆκος, διπήχεις δὲ τὸ πλάτος. ἐντείνουσι δὲ οὐ κατὰ διάμετρον, ἀλλ' ἀπ' ἐναντίας, ὅπως τά τε ξύλα ἧττον διασπᾶται· τάχιστα γὰρ σχίζεται κατὰ φύσιν διαιρούμενα ταύτῃ, καὶ ἑλκόμενα πονεῖ μάλιστα. ἔτι ἐπειδὴ δεῖ βάρος δύνασθαι τὰ σπαρτία φέρειν, οὕτως ἧττον πονέσει λοξοῖς τοῖς σπαρτίοις ἐπιτιθεμένου τοῦ βάρους ἢ πλαγίοις. ἔτι δὲ ἔλαττον οὕτω σπαρτίον ἀναλίσκεται. ἔστω γὰρ κλίνη ἡ *ΑΖΗΙ*, καὶ δίχα διῃρήσθω ἡ *ΖΗ* κατὰ τὸ *Β*. ἴσα δὴ τρυπήματά ἐστιν ἐν τῇ *ΖΒ* καὶ ἐν τῇ *ΖΑ*. καὶ γὰρ αἱ πλευραὶ ἴσαι εἰσίν· ἡ γὰρ ὅλη *ΖΗ* διπλασία ἐστίν. ἐντείνουσι δ' ὡς γέγραπται, ἀπὸ τοῦ *Α* ἐπὶ τὸ *Β*, εἶτα οὗ τὸ *Γ*, εἶτα οὗ τὸ *Δ*, εἶτα οὗ τὸ *Θ*, εἶτα οὗ τὸ *Ε*. καὶ οὕτως ἀεί, ἕως ἂν εἰς γωνίαν καταστρέψωσιν ἄλλην· δύο γὰρ ἔχουσι γωνίαι τὰς ἀρχὰς τοῦ σπαρτίου. ἴσα δέ ἐστι τὰ σπαρτία κατὰ τὰς κάμψεις, τό τε *ΑΒ* καὶ *ΒΓ* τῷ *ΓΔ* καὶ *ΔΘ*. καὶ τὰ ἄλλα δὲ τὰ τοιαῦτά ἐστιν, ὅτι οὕτως ἔχει ἡ αὐτὴ ἀπόδειξις. ἡ μὲν γὰρ *ΑΒ* τῇ *ΕΘ* ἴση· ἴσαι γάρ εἰσιν αἱ πλευραὶ τοῦ *ΒΗΚΑ* χωρίου, καὶ τὰ τρυπήματα ἴσα διέστηκεν. ἡ δὲ *ΒΗ* ἴση τῇ *ΚΑ*· ἡ γὰρ *Β* γωνία ἴση τῇ *Η*. ἐν ἴσοις γὰρ ἡ μὲν ἐκτός, ἡ δὲ ἐντός· καὶ ἡ μὲν *Β* ἐστὶν ἡμίσεια ὀρθῆς· ἡ γὰρ *ΖΒ* ἴση τῇ *ΖΑ*· καὶ γωνία δὲ ἡ κατὰ τὸ *Ζ* ὀρθή. ἡ δὲ *Β* γωνία ἴση τῇ κατὰ τὸ *Η*· ἡ γὰρ κατὰ τὸ *Ζ* ὀρθή, ἐπειδὴ διπλασιόπλευρον τὸ ἑτερόμηκες καὶ πρὸς μέσον κέκλασται. ὥστε ἡ *ΒΓ* τῇ *ΕΗ* ἴση. ταύτῃ δὲ ἡ *ΚΘ*· παράλληλος γάρ. ὥστε ἡ *ΒΓ*


4 post φύσιν sequitur in Par. *A* lineolis subductum hoc scholium: κατὰ φύσιν λέγεται τὰ ξύλα διαιρεῖσθαι, ὅταν ἀπὸ τοῦ ἄκρου διαίρεσις γένηται· γίνεται δὲ τοιαῦτα, ὅταν κατὰ διάμετρον τὰ σχοινία ἐν τῇ κλίνῃ τάξ$^{\omega}_{οι}$μεν ‖ ποιεῖ Par. *A* ‖ 5 σπαρτὰ et 6 σπαρτοῖς *P W*a ‖ 7 σπαρτὸν *W*a ‖ figuram in re incerta non addidimus ‖ 10 τῇ *ΖΑ*] τῷ ζα Par. *A* ‖ εἰσιν ἴσαι *W*a ‖ 14 γωνίας Par. *A* ‖ 17 ἔχει om. *P* ‖ 18 τρυπήματα δ' ἴσα διέστη *W*a ‖ 19 *Β*] γ *W*a ‖ 20 ἴσοις] παραλλήλοις Par. *A* ‖ 22 τῇ] ἡ Par. *A* ‖ 23 Ζ om. Par. *A* ‖ 24 *ΒΓ* Par. *A*: αγ *P W*a

ἴση τῇ ΚΘ. ἡ δὲ ΓΕ τῇ ΔΘ. ὁμοίως δὲ καὶ αἱ ἄλλαι δείκνυνται ὅτι ἴσαι εἰσὶν αἱ κατὰ τὰς κάμψεις δύο ταῖς δυσίν. ὥστε δῆλον ὅτι τὰ τηλικαῦτα σπαρτία ὅσον τὸ ΑΒ, τέσσαρα τοσαῦτ' ἔνεστιν ἐν τῇ κλίνῃ· ὅσον δ' ἐστὶ τὸ πλῆθος τῶν ἐν τῇ ΖΗ πλευρᾷ τρυπημάτων, καὶ ἐν τῷ ἡμίσει τῷ ΖΒ τὰ ἡμίση. ὥστε ἐν τῇ ἡμισείᾳ κλίνῃ τηλικαῦτα μεγέθη σπαρτίων ἐστὶν ὅσον τῷ ΒΑ ἔνεστι, τοσαῦτα δὲ τὸ πλῆθος ὅσαπερ ἐν τῷ ΒΗ τρυπήματα. ταῦτα δὲ οὐδὲν διαφέρει λέγειν ἢ ὅσα ἐν τῇ ΑΖ καὶ ΒΖ τὰ συνάμφω. εἰ δὲ κατὰ διάμετρον ἐνταθῇ τὰ σπαρτία, ὡς ἐν τῇ ΑΒΓΔ κλίνῃ
7a ἔχει, τὰ ἡμίσεά εἰσιν οὐ τοσαῦτα ὅσα αἱ πλευραὶ ἀμφοῖν, αἱ ΑΖ ΖΗ· τὰ ἴσα δέ, ὅσα ἐν τῷ ΖΒΖΑ τρυπήματα ἔνεστιν. μείζονες δέ εἰσιν αἱ ΑΖ ΒΖ δύο οὖσαι τῆς ΑΒ. ὥστε καὶ τὸ σπαρτίον μεῖζον τοσούτῳ, ὅσον αἱ πλευραὶ ἄμφω μείζους εἰσὶ τῆς διαμέτρου.


Διὰ τί χαλεπώτερον τὰ μακρὰ ξύλα ἀπ' ἄκρου φέρειν 26 ἐπὶ τῷ ὤμῳ ἢ κατὰ τὸ μέσον, ἴσου τοῦ βάρους ὄντος; πότερον ὅτι σαλευομένου τοῦ ξύλου τὸ ἄκρον κωλύει φέρειν, μᾶλλον ἀντισπῶν τῇ σαλεύσει τὴν φοράν; ἢ κἂν μηθὲν κάμπτηται μηδ' ἔχῃ πολὺ μῆκος, ὅμως χαλεπώτερον φέρειν ἀπ' ἄκρου; ἀλλ' ὅτι καὶ ῥᾷον αἴρεται ἐκ μέσου ἢ ἀπ' ἄκρου, διὰ τὸ αὐτὸ καὶ φέρειν οὕτω ῥᾴδιον. αἴτιον δὲ ὅτι ἐκ μέσου μὲν αἰρόμενον ἀεὶ ἐπικουφίζει ἄλληλα τὰ ἄκρα, καὶ θάτερον μέρος τὸ ἐπὶ θάτερον εὖ αἴρει. ὥσπερ γὰρ κέντρον γίνεται τὸ μέσον, ᾗ ἔχει τὸ αἶρον ἢ φέρον. εἰς τὸ ἄνω οὖν κου-

1 δὲ] δὲ τῇ P ‖ 3 σπαρτά, 7 σπαρτῶν PWa ‖ 3 ὅσον τὸ αβ, τοσαῦτα ἔνεστιν ἐν τῇ κλίνῃ, ὅσον δ' ἐστὶ κ. τ. λ. legendum censet Cappelle ‖ 6 τῷ ζθ P, τὸ θζ Wa ‖ ἐν τῇ ἡμισείᾳ κλίνῃ] ἐν τῇ κλίνῃ Par. A, sed in mg. ἐν τῇ ἡμισείᾳ ‖ 7 τὸ Wa ‖ ἔν ἐστι Par. A ‖ 9 ΑΖ] θζ Wa ‖ 12 τὰ ἴσα] τοσαῦτα legendum censet Cappelle ‖ 16 ἀπ' ἄκρου Leonicenus: ἀπὸ μακροῦ PWa Par. A ‖ 21 αἴρεται — ἄκρου Par. A, Cappelle: αἴρεται ἀπ' ἄκρου ἢ (ἢ om. P) ἐκ μέσου PWa ‖ 22 αἴτιον δὲ ὅτι] ἐπειδὴ διότι Wa ‖ 23 θάτερα P ‖ 25 ᾗ] ἢ Wa ‖ τὰ Wa

φίζεται ἑκάτερον τῶν ἄκρων εἰς τὸ κάτω ῥέπον. ἀπὸ δὲ τοῦ ἄκρου αἰρόμενον ἢ φερόμενον οὐ ποιεῖ τοῦτο, ἀλλ' ἅπαν τὸ βάρος ῥέπει ἐφ' ἕν. ἔστω μέσον τοῦ ξύλου ὅπερ αἴρεται ἢ φέρεται, ἐφ' οὗ *Α*, ἄκρα ἐφ' ὧν *ΒΓ*. αἰρομένου οὖν ἢ φερομένου κατὰ τὸ *Α*, τὸ μὲν *Β* κάτω ῥέπον ἄνω αἴρει τὸ *Γ*, τὸ δὲ *Γ* κάτω ῥέπον τὸ *Β* ἄνω αἴρει· ἅμα δὲ αἰρόμενα ἄνω ποιεῖ ταῦτα.



27 Διὰ τί, ἐὰν ᾖ λίαν μακρὸν τὸ αὐτὸ βάρος, χαλεπώτερον φέρειν ἐπὶ τοῦ ὤμου, κἂν μέσον φέρῃ τις, ἢ ἐὰν ἔλαττον ᾖ; πάλαι ἐλέχθη ὡς οὐκ ἔστιν αἴτιον ἡ σάλευσις· ἀλλ' ἡ σάλευσις νῦν αἴτιόν ἐστιν. ὅταν γὰρ ᾖ μακρότερον, τὰ ἄκρα σαλεύεται μᾶλλον, ὥστε εἴη ἂν καὶ τὸν φέροντα χαλεπώτερον φέρειν. αἴτιον δὲ τοῦ σαλεύεσθαι μᾶλλον, ὅτι τῆς αὐτῆς κινήσεως οὔσης μεθίσταται μᾶλλον τὰ ἄκρα, ὅσῳπερ ἂν ᾖ μακρότερον τὸ ξύλον. ὁ μὲν γὰρ ὦμος κέντρον, ἐφ' οὗ τὸ *Α* (μένει γὰρ τοῦτο), αἱ δὲ *ΑΒ* καὶ *ΑΓ* αἱ ἐκ τοῦ κέντρου.



ὅσῳ δ' ἂν ᾖ μεῖζον τὸ ἐκ τοῦ κέντρου ἢ τὸ *ΑΒ* ἢ καὶ τὸ *ΑΓ*, πλέον μεθίσταται μέγεθος. δέδεικται δὲ τοῦτο πρότερον.

28 Διὰ τί ἐπὶ τοῖς φρέασι τὰ κηλώνεια ποιοῦσι τοῦτον τὸν τρόπον; προστιθέασι γὰρ βάρος ἐν τῷ ξύλῳ τὸν μόλιβδον,

3 ἕν. ἔστω μέσον τοῦ ξύλου, ὅπερ Par. *A*: ἓν μέσον, εἰς ὅπερ *P W*ᵃ ‖ 5 ἐφ' ὧν add. Par. *A* ‖ αἱρουμένου Par. *A* ‖ 11 φέρει *W*ᵃ ‖ φέροι *P*, φέρει *W*ᵃ ‖ 12 ὡς et ἡ σάλευσις om. *P W*ᵃ ‖ 14 μᾶλλον Par. *A*, Cappelle: om. *P W*ᵃ ‖ ἂν om. *P* ‖ εἴη. ἄν Par. *A* subducta lineola et in mg. ἢ ‖ 15 φέρειν Par. *A*, Cappelle: φέρειν μᾶλλον *P W*ᵃ ‖ ὅτι] ἀπὸ post lacunam *P* ‖ 16 οὔσης om. *P W*ᵃ ‖ μᾶλλον post μεθίσταται add. Par. *A*, Cappelle ‖ 18 τὸ κέντρον Par. *A* ‖ 19 ἐφ' οὗ — 21 κέντρου om. *W*ᵃ ‖ 24 κοιλώνια *P W*ᵃ


ὄντος βάρους τοῦ κάδου αὐτοῦ, καὶ κενοῦ καὶ πλήρους ὄντος. ἢ ὅτι ἐν δυσὶ χρόνοις διῃρημένου τοῦ ἔργου (βάψαι γὰρ δεῖ, καὶ τοῦτ' ἄνω ἑλκύσαι) συμβαίνει καθιέναι μὲν κενὸν ῥᾳ-
7b δίως, αἴρειν δὲ πλήρη χαλεπῶς; λυσιτελεῖ οὖν μικρῷ βραδύτερον εἶναι τὸ καταγαγεῖν πρὸς τὸ πολὺ κουφίσαι τὸ βάρος ἀνάγοντι. τοῦτο οὖν ποιεῖ ἐπ' ἄκρῳ τῷ κηλωνείῳ ὁ μόλιβδος προσκείμενος ἢ ὁ λίθος. καθιμῶντι μὲν γὰρ γίνεται βάρος μεῖζον ἢ εἰ μόνον κενὸν δεῖ κατάγειν τὸν κάδον· ὅταν δὲ πλήρης ᾖ, ἀνάγει ὁ μόλιβδος, ἢ ὅ τι ἂν ᾖ τὸ προσκείμενον βάρος. ὥστ' ἐστὶ ῥᾴονα οὕτω τὰ ἄμφω ἢ ἐκείνως.

Διὰ τί, ὅταν φέρωσιν ἐπὶ ξύλου ἤ τινος τοιούτου δύο ἄνθρωποι ἴσον βάρος, οὐχ ὁμοίως θλίβονται, ἐὰν μὴ ἐπὶ τῷ μέσῳ ᾖ τὸ βάρος, ἀλλὰ μᾶλλον ὅσῳ ἂν ἐγγύτερον ᾖ τῶν φερόντων; ἢ διότι μοχλὸς μὲν γίνεται οὕτως ἐχόντων τὸ ξύλον, τὸ δὲ βάρος ὑπομόχλιον, ὁ δὲ ἐγγύτερος τοῦ βάρους τῶν φερόντων τὸ βάρος τὸ κινούμενον, ἅτερος δὲ τῶν φερόντων τὸ βάρος ὁ κινῶν. ὅσῳ γὰρ πλέον ἀπέχει τοῦ βάρους, τοσούτῳ ῥᾷον κινεῖ, καὶ θλίβει μᾶλλον τὸν ἕτερον εἰς τὸ κάτω, ὥσπερ ἀντερείδοντος τοῦ βάρους τοῦ ἐπικειμένου καὶ γινομένου ὑπομοχλίου. ἐν μέσῳ δὲ ὑποκειμένου τοῦ βάρους, οὐδὲν μᾶλλον ἅτερος θατέρῳ γίνεται βάρος, οὐδὲ κινεῖ, ἀλλ' ὁμοίως ἑκάτερος ἑκατέρῳ γίνεται βάρος. 29

Διὰ τί οἱ ἀνιστάμενοι πάντες πρὸς ὀξεῖαν γωνίαν τῷ 30

4 βαρύτερον Par. *A* ‖ 5 εἶναι et πρὸς om. PW^a ‖ 6 τῶν κοιλωνίων *P*, κοιλωνίω W^a ‖ 7 ὁ om. PW^a ‖ μὲν om. W^a Par. *A* ‖ 8 ἢ εἰ Par. *A*: εἴη PW^a ‖ τὸν κάδον om. PW^a ‖ 9 ἂν ᾖ] ἐστιν ἡ *P* ‖ 10 ῥᾴονα οὕτω τὰ ἄμφω ἢ ἐκείνως Leonicenus, Cappelle: ῥᾷονα αὐτῷ τὰ ἄμφω ἢ ἐκεῖνο Par. *A*, ῥᾷον αὐτῷ τὰ ἄμφω ἢ ἐκείνῳ (ἐκεῖνα W^a) PW^a ‖ 14 μέσῳ] μόνῳ *P* ‖ ὅτῳ Par. *A* ‖ 15 οὕτως] ἐλάττων PW^a ‖ 16 τῶν ξύλων W^a ‖ ὑπομοχλίων W^a ‖ 18 γὰρ] ἂν et deinde ἀπέχῃ legendum censebat Sylburg, ἄρα suspicatur Cappelle ‖ ἀπέχῃ P Par. A ‖ 19 τοσοῦτον W^a ‖ 20 τοῦ ἐπικειμένου — 22 βάρους om. W^a ‖ 21 ἐπικειμένον (sic) Par. *A* ‖ 23 ὅμως W^a

μηρῷ ποιήσαντες τὴν κνήμην ἀνίστανται, καὶ τῷ θώρακι πρὸς τὸν μηρόν; εἰ δὲ μή, οὐκ ἂν δύναιντο ἀναστῆναι. πότερον ὅτι τὸ ἴσον ἠρεμίας πανταχοῦ αἴτιον, ἡ δὲ ὀρθὴ γωνία τοῦ ἴσου, καὶ ποιεῖ στάσιν· διὸ καὶ φέρεται πρὸς ὁμοίας γωνίας τῇ περιφερείᾳ τῆς γῆς. οὐ γὰρ ὅτι καὶ πρὸς ὀρθὴν ἔσται τῷ ἐπιπέδῳ. ἢ ὅτι ἀνιστάμενος γίνεται ὀρθός, ἀνάγκη δὲ τὸν ἑστῶτα κάθετον εἶναι πρὸς τὴν γῆν. εἰ οὖν μέλλει ἔσεσθαι πρὸς ὀρθήν, τοῦτο δέ ἐστι τὸ τὴν κεφαλὴν ἔχειν κατὰ τοὺς πόδας, καὶ γίνεται δὴ ὅτε ἀνίσταται. ὅταν μὲν οὖν καθήμενος ᾖ, παράλληλον ἔχει τὴν κεφαλὴν καὶ τοὺς πόδας, καὶ οὐκ ἐπὶ μιᾶς εὐθείας. ἡ κεφαλὴ *Α* ἔστω, θώραξ *ΑΒ*, μηρὸς *ΒΓ*, κνήμη *ΓΔ*. πρὸς ὀρθὴν δὲ γίνεται ὅ τε θώραξ, ἐφ' οὗ *ΑΒ*, τῷ μηρῷ καὶ ὁ μηρὸς τῇ κνήμῃ οὕτως καθημένῳ. ὥστε οὕτως ἔχοντα ἀδύνατον ἀναστῆναι. ἀνάγκη δὲ ἐγκλῖναι τὴν κνήμην καὶ ποιεῖν τοὺς πόδας ὑπὸ τὴν κεφαλήν. τοῦτο δὲ ἔσται, ἐὰν ἡ *ΓΔ* ἐφ' ἧς τὰ *ΓΖ* γένηται, καὶ ἅμα ἀναστῆναι συμβήσεται, καὶ ἔχειν ἐπὶ τῆς αὐτῆς ἴσης τὴν κεφαλήν τε καὶ τοὺς πόδας. ἡ δὲ *ΓΖ* ὀξεῖαν ποιεῖ γωνίαν πρὸς τὴν *ΒΓ*.



31 Διὰ τί ῥᾷον κινεῖται τὸ κινούμενον ἢ τὸ μένον, οἷον τὰς ἁμάξας θᾶττον κινουμένας ὑπάγουσιν ἢ ἀρχομένας; ἢ ὅτι χαλεπώτατον μὲν τὸ εἰς τοὐναντίον κινούμενον κινῆσαι βάρος; ἀφαιρεῖται γάρ τι τῆς τοῦ κινοῦντος δυνάμεως, κἂν

5 περιφερείᾳ] ἐπιφανείᾳ Monantholius ‖ οὐ γὰρ ὅτι] οὕτω γὰρ καὶ Monantholius et ante eum quidam ‖ 8 ὀρθὴν Cappelle et ante eum nescio quis: ὀρθὸν *P W*ᵃ Par. *A* ‖ 9 γίνεται δὴ Leidensis, Cappelle: γίνεσθαι δὴ *P W*ᵃ Par. *A*, γίνεσθαι δεῖ Leonicenus ‖ 12 εὐθείας] ἴσου *P W*ᵃ ‖ 13 κνῆμαι *P* ‖ 14 ὅτι *W*ᵃ ‖ ἐφ' οὗ Par. *A*: ἐφ' ὧν vulgo ‖ 17 ἐκκλίναι *P W*ᵃ ‖ 21 ἔχει *P W*ᵃ ‖ ἴσας *P W*ᵃ, εὐθείας malebat cum Monantholio Cappelle

πολὺ θᾶττον ᾖ· ἀνάγκη γὰρ βραδυτέραν γίνεσθαι τὴν ὦσιν τοῦ ἀντωθουμένου. δεύτερον δέ, ἐὰν ἠρεμῇ· ἀντιτείνει γὰρ καὶ τὸ ἠρεμοῦν. τὸ δὲ κινούμενον ἐπὶ τὸ αὐτὸ τῷ ὠθοῦντι ὅμοιον ποιεῖ ὥσπερ ἂν εἰ αὐξήσειέ τις τὴν τοῦ κινοῦντος δύναμιν καὶ ταχυτῆτα· ὃ γὰρ ὑπ' ἐκείνου ἂν ἔπασχε, τοῦτο αὐτὸ ποιεῖ εἰς τὸ πρὸ ὁδοῦ κινούμενον.

Διὰ τί παύεται φερόμενα τὰ ῥιφέντα; πότερον ὅταν 32
λήγῃ ἡ ἰσχὺς ἡ ἀφεῖσα, ἢ διὰ τὸ ἀντισπᾶσθαι, ἢ διὰ τὴν ῥοπήν, ἐὰν κρείττων ᾖ τῆς ἰσχύος τῆς ῥιψάσης; ἢ ἄτοπον τὸ ταῦτ' ἀπορεῖν, ἀφέντα τὴν ἀρχήν;

Διὰ τί φέρεταί τι οὐ τὴν αὑτοῦ φοράν, μὴ ἀκολουθοῦντος 33
καὶ ὠθοῦντος τοῦ ἀφέντος; ἢ δῆλον ὅτι ἐποίησε τοιοῦτον τὸ πρῶτον ὡς θάτερον ὠθεῖν, καὶ τοῦθ' ἕτερον· παύεται δέ, ὅταν μηκέτι δύνηται ποιεῖν τὸ προωθοῦν τὸ φερόμενον ὥστε ὠθεῖν, καὶ ὅταν τὸ τοῦ φερομένου βάρος ῥέπῃ μᾶλλον τῆς εἰς τὸ πρόσθεν δυνάμεως τοῦ ὠθοῦντος.

Διὰ τί οὔτε τὰ ἐλάττονα οὔτε τὰ μεγάλα πόρρω φέρεται 34
ῥιπτούμενα, ἀλλὰ δεῖ συμμετρίαν τινὰ ἔχειν πρὸς τὸν ῥιπτοῦντα; πότερον ὅτι ἀνάγκη τὸ ῥιπτούμενον καὶ ὠθούμενον ἀντερείδειν ὅθεν ὠθεῖται; τὸ δὲ μηθὲν ὑπεῖκον διὰ μέγεθος ἢ μηδὲν ἀντερεῖσαν δι' ἀσθένειαν οὐ ποιεῖ ῥῖψιν οὐδὲ ὦσιν. τὸ μὲν οὖν πολὺ ὑπερβάλλον τῆς ἰσχύος τῆς ὠθούσης οὐθὲν ὑπείκει, τὸ δὲ πολὺ ἀσθενέστερον οὐδὲν ἀντερείδει. ἢ ὅτι τοσοῦτον φέρεται τὸ φερόμενον, ὅσον ἂν ἀέρα κινήσῃ εἰς βάθος; τὸ δὲ μηδὲν κινούμενον οὐδ' ἂν
3b *κινήσειεν οὐδέν. συμβαίνει δὴ ἀμφότερα τούτοις ἔχειν. τό τε γὰρ σφόδρα μέγα καὶ τὸ σφόδρα μικρὸν ὥσπερ οὐθὲν*

5 *παχύτητα* *P* ‖ *ἔπασκε* Par. *A* ‖ 7 *ὅτι λήγει* Monantholius ‖ 8 *ἀντισπάσαι* *PWa* ‖ alterum *ἢ* om. Par. *A* ‖ 9 *κρείττων ᾖ*] *κρείττω* *P* ‖ 11 *μὴ ἀκολουθοῦντος τοῦ ὠθοῦντος, ἀλλὰ τοῦ ἀφέντος* Monantholius ‖ 12 *τοῦ ἀφέντος* om. *PWa* ‖ 18 *ῥιπτόμενα* *P* Par. *A* ‖ 19 *ὠθούμενον ἀντερείδειν*] fort. *ὠθούμενον ὑπείκειν τε πρὸς ᾧ ὠθεῖται, καὶ ἀντερείδειν* mg. Casaubonianae et Duvallianae ‖ 26 *τούτοις*] *οὕτως* malebat Cappelle

κινούμενά ἐστι· τὸ μὲν γὰρ οὐθὲν κινεῖ, τὸ δ' οὐθὲν κινεῖται.

Διὰ τί τὰ φερόμενα ἐν τῷ δινουμένῳ ὕδατι εἰς τὸ μέσον τελευτῶντα φέρονται ἅπαντα; πότερον ὅτι μέγεθος ἔχει τὸ φερόμενον, ὥστε ἐν δυσὶ κύκλοις εἶναι, τῷ μὲν ἐλάττονι, τῷ δὲ μείζονι, ἑκάτερον αὐτοῦ τῶν ἄκρων. ὥστε περισπᾷ ὁ μείζων διὰ τὸ φέρεσθαι θᾶττον, καὶ πλάγιον ἀπωθεῖ αὐτὸ εἰς τὸν ἐλάττω. ἐπεὶ δὲ πλάτος ἔχει τὸ φερόμενον, καὶ οὗτος πάλιν τὸ αὐτὸ ποιεῖ, καὶ ἀπωθεῖ εἰς τὸν ἐντός, ἕως ἂν εἰς τὸ μέσον ἔλθῃ. καὶ τότε μένει διὰ τὸ ὁμοίως ἔχειν πρὸς ἅπαντας τοὺς κύκλους τὸ φερόμενον, διὰ τὸ μέσον· καὶ γὰρ τὸ μέσον ἴσον ἀπέχει ἐν ἑκάστῳ τῶν κύκλων. ἢ ὅτι ὅσων μὲν μὴ κρατεῖ ἡ φορὰ τοῦ δινουμένου ὕδατος διὰ τὸ μέγεθος, ἀλλ' ὑπερέχει τῇ βαρύτητι τῆς τοῦ κύκλου ταχυτῆτος, ἀνάγκη ὑπολείπεσθαι καὶ βραδύτερον φέρεσθαι. βραδύτερον δὲ ὁ ἐλάττων κύκλος φέρεται· τὸ αὐτὸ γὰρ ἐν ἴσῳ χρόνῳ ὁ μέγας τῷ μικρῷ στρέφεται κύκλῳ, ὅταν ὦσι περὶ τὸ αὐτὸ μέσον. ὥστε εἰς τὸν ἐλάττονα κύκλον ἀναγκαῖον ἀπολείπεσθαι, ἕως ἂν ἐπὶ τὸ μέσον ἔλθῃ. ὅσων δὲ πρότερον κρατεῖ ἡ φορά, λήγουσα ταὐτὸ ποιήσει. δεῖ γὰρ τὸν μὲν εὐθύ, τὸν δὲ ἕτερον κρατεῖν τῇ ταχυτῆτι τοῦ βάρους, ὥστε εἰς τὸν ἐντὸς ἀεὶ κύκλον ὑπολείπεσθαι τὸ πᾶν. ἀνάγκη γὰρ αὐτὸ ἐντὸς ἢ ἐκτὸς κινεῖσθαι τὸ μὴ κρατούμενον. ἐν αὐτῷ δὴ τοίνυν ἐν ᾧ ἐστίν, ἀδύνατον φέρεσθαι τὸ μὴ κρατούμενον. ἔτι δὲ ἧττον ἐν τῷ ἐκτός· θάττων γὰρ ἡ φορὰ τοῦ

1 *κινούμενα*] *κινοῦντα* M. Hayduck l. l. ‖ *οὐθὲν* Leonicenus, Cappelle: *αὐτὸ καθ' ἓν* codd., *μηδὲν αὐτὸ* Monantholius, *αὐτὸ καθ' αὑτὸ οὐδὲν* M. Hayduck l. l., *αὐτίκα οὐδὲν* Bussemaker ‖ 7 *αὐτὸν P* ‖ 8 *ἐλάττονα W^a* ‖ 10 *τότε μένει* Par. *A*, Cappelle: *τιθέαμεν εἰ PW^a* ‖ 13 *δινομένου P* ‖ 16 *τὸ αὐτὸ*] *οὐ τὸ αὐτὸ* malebat Cappelle ‖ 19 *ὅσων* Leonicenus, Cappelle: *ὅσῳ PW^a* Par. *A* ‖ *πότερον P* ‖ 20 post *φορά* recte interpunxit Leonicenus ‖ 21 *ἕτερον*] *ὕστερον* malebat Cappelle ‖ *τραχύτητι W^a* ‖ 22 *τὸ πᾶν* Par. *A*: *πᾶν PW^a* ‖ 24 *δὲ PW^a* ‖ *τοίνυν τοῖς W^a* ‖ 25 *θᾶττον P* Par. *A*

ἐκτὸς κύκλου. λείπεται δὲ εἰς τὸν ἐντὸς τὸ μὴ κρατούμενον μεθίστασθαι. ἀεὶ δὲ ἕκαστον ἐπιδίδωσιν εἰς τὸ μὴ κρατεῖσθαι. ἐπεὶ δὲ πέρας τοῦ μὴ κινεῖσθαι ποιεῖ τὸ εἰς μέσον ἐλθεῖν, μένει δὲ τὸ κέντρον μόνον, ἅπαντα ἀνάγκη εἰς τοῦτο δὴ ἀθροίζεσθαι.

1 *τὸν*] *τὸ* Par. *A* ‖ 3 *ἐπεὶ δὲ* Leonicenus, Cappelle: *ἐπεὶ* *P W*^{a} Par. *A* ‖ *ποιεῖ* / *κρατεῖ* Par. *A*, unde legendum putat Cappelle *πέρας τοῦ μὴ κρατεῖσθαι* ‖ *εἰς* om. *P W*^{a} Par. *A*

ΠΕΡΙ ΑΤΟΜΩΝ ΓΡΑΜΜΩΝ.

σειαν· ἐπεὶ δὲ τοῦτ' ἀδύνατον, ⟨ἀδιαίρετον⟩ ἂν εἴη μέτρον. ὡσαύτως δὲ καὶ αἱ μετρούμεναι ἅπαξ ὑπ' αὐτοῦ, ὥσπερ πᾶσαι αἱ ἐκ τοῦ μέτρου σύνθετοι γραμμαί, ἐξ ἀμερῶν σύγκεινται. τὸ δ' αὐτὸ συμβήσεται κἀν τοῖς ἐπιπέδοις· πάντα γὰρ τὰ ἀπὸ τῶν ῥητῶν γραμμῶν σύμμετρα ἀλλήλοις, ὥστε ἔσται τὸ μέτρον αὐτῶν ἀμερές. ἀλλὰ μὴν εἴ τι τμηθήσεται μέτρον τινὰ τεταγμένην καὶ ὡρισμένην γραμμήν, οὐκ ἔσται οὔτε ῥητὴ οὔτ' ἄλογος οὔτε τῶν ἄλλων οὐδεμία, ὧν δυνάμεις ῥηταί, οἷον ἀποτομὴ ἢ ἡ ἐκ δυοῖν ὀνομάτοιν· ἀλλὰ καθ' αὑτὰς μὲν οὐδέ τινας ἕξουσι φύσεις, πρὸς ἀλλήλας δὲ ἔσονται ῥηταὶ καὶ ἄλογοι. — ἢ πρῶτον μὲν οὐκ ἀνάγκη τὸ ἀπείρους ἔχον διαιρέσεις μὴ εἶναι μικρὸν καὶ ὀλίγον· καὶ γὰρ τόπον καὶ μέγεθος καὶ ὅλως τὸ συνεχὲς μικρὸν μὲν λέγομεν, καὶ ἐφ' ὧν μὲν ἁρμόττει τὸ ὀλίγον, οὐ μὴν ἀλλ' ἀπείρους διαιρέσεις φαμὲν ἔχειν. ἔτι δ' εἰ ἐν τοῖς συμμέτροις γραμμαί εἰσι γραμμαί, κατὰ τούτων τῶν ἀτόμων λέ- 9a *γεται τὸ μικρόν, καὶ ἄπειροι στιγμαὶ ἐνυπάρχουσιν. ᾗ δὲ γραμμή, διαίρεσις κατὰ στιγμήν, καὶ ὁμοίως καθ' ὁποιανοῦν·*

1 *ἐπεὶ δὲ* scripsi: *ἐπειδὴ* codd. ‖ *ἀδιαίρετον* add. Martiano Rota praeeunte Hayduck, totum locum sic constituendum ratus: *ὥστε μέτρον ἂν εἴη διπλασία τῆς ἡμισείας* (vel *ὥστε μετρεῖν ἂν εἴη διπλασίᾳ τὴν ἡμίσειαν*). *ἐπειδὴ τοῦτ' ἀδύνατον, ἀδιαίρετον ἂν εἴη μέτρον* ‖ 2 *δὲ* om. Z^a ‖ *αὐτῆς* *N* ‖ 3 *αἱ* om. Z^a ‖ 4 *τὸ αὐτὸ δὲ* WZ^a ‖ 6 *ἀμερῆ* Z^a ‖ 7 *μέτρον* NQZ^a: ceteri *μέτρου* ‖ *ὡρισμένην καὶ τεταγμένην* W^a ‖ *δυνάμεις ῥηταί* scripsi cf. prolegg.: *νῦν δὴ εἴρηται* *N*, *δὴ νῦν εἴρηται* ceteri ‖ 9 *ἀποτομὴ ἢ ἡ ἐκ* scripsi: *ἀποτομὴν ἐκ* codd. ‖ 11 *ῥητοί* *P* ‖ *ἢ* QU^a, *αἱ* ceteri ‖ *πρῶτον* QU^aW^a: *πρῶται* ceteri ‖ 12 *ἀπείρως* LH^a ‖ *ἔχουσαι* Z^a ‖ 13 *ὅλον* *N* ‖ *τὸ* om. Z^a ‖ 14 *ᾧ* *P* ‖ *μὲν* om. Z^a ‖ *ἁρμόττειν* Z^a ‖ locum sic constituendum censet Hayduck: *καὶ ἐφ' ὧν ἁρμόττει, ὀλίγον.* Sed nulla mutatione opus; cf. proll. ‖ 15 *ἀπείρως* LH^a ‖ *τοῖς συμμέτροις γραμμαί εἰσι γραμμαί* *N*, *τῷ συνθέτῳ γραμμ*(rasura) *εἰσί. γραμμαὶ* Z^a, *τῷ συνθέτῳ γραμμαί* ceteri, sed post *συνθέτῳ* lacunam PW^a, paulo ampliorem *L*. Locus sic fort. constituendus: *ἔτι δ' εἰ ἐνίαις σύμμετροι γραμμαῖς εἰσὶ γραμμαί, κατὰ τούτων ἄτομον λέγεται τὸ μικρόν* ‖ 16 *τῶν* om. NPW^aZ^a ‖ 17 *ᾗ*] *εἶναι* *N* ‖ 18 post *ὁποιανοῦν* inter-

γὰρ πρότερ' ἄττα εἶναι τούτων. ἔτι εἰ σώματός ἐστι στοιχεῖα, τῶν δὲ στοιχείων μηδὲν πρότερον, τὰ δὲ μέρη τοῦ ὅλου πρότερα, ἀδιαίρετον ἂν εἴη τὸ πῦρ καὶ ὅλως τῶν τοῦ σώματος στοιχείων ἕκαστον, ὥστ' οὐ μόνον ἐν τοῖς νοητοῖς, ἀλλὰ καὶ ἐν τοῖς αἰσθητοῖς ἐστί τι ἀμερές. ἔτι δὲ κατὰ τὸν τοῦ Ζήνωνος λόγον ἀνάγκη τι μέγεθος ἀμερὲς εἶναι, εἴπερ ἀδύνατον μὲν ἐν πεπερασμένῳ χρόνῳ ἀπείρων ἅψασθαι, καθ' ἕκαστον ἁπτόμενον, ἀνάγκη δ' ἐπὶ τὸ ἥμισυ πρότερον ἀφικνεῖσθαι τὸ κινούμενον, τοῦ δὲ μὴ ἀμεροῦς πάντως ἔστιν ἥμισυ. εἰ δὲ καὶ ἅπτεται τῶν ἀπείρων ἐν πεπερασμένῳ χρόνῳ τὸ ἐπὶ τῆς γραμμῆς φερόμενον, τὸ δὲ θᾶττον ἐν τῷ ἴσῳ χρόνῳ πλεῖον διανύει, ταχίστη δ' ἡ τῆς διανοίας κίνησις, κἂν ἡ διάνοια τῶν ἀπείρων ἐφάπτοιτο καθ' ἕκαστον 968^b ἐν πεπερασμένῳ χρόνῳ, ὥστε εἰ τὸ καθ' ἕκαστον ἅπτεσθαι τὴν διάνοιαν ἀριθμεῖν ἐστίν, ἐνδέχεται ἀριθμεῖν τὰ ἄπειρα ἐν πεπερασμένῳ χρόνῳ. εἰ δὲ τοῦτο ἀδύνατον, εἴη ἄν τις ἄτομος γραμμή. ἔτι καὶ ἐξ ὧν αὐτοὶ οἱ ἐν τοῖς μαθήμασι λέγουσιν, εἴη ἄν τις ἄτομος γραμμή, ὥς φασίν, εἰ σύμμετροί εἰσιν αἱ τῷ αὐτῷ μέτρῳ μετρούμεναι· ὅσαι δ' εἰσὶ μετρούμεναι, πᾶσαί εἰσι σύμμετροι. εἴη γὰρ ἄν τι μῆκος, ᾧ πᾶσαι μετρηθήσονται. τοῦτο δ' ἀνάγκη ἀδιαίρετον εἶναι. εἰ γὰρ διαιρετόν, καὶ τὰ μέρη μέτρου τινὸς ἔσται. σύμμετρα γὰρ τῷ ὅλῳ. ὥστε μέρους τινὸς εἴη διπλασίαν τὴν ἡμί-

vol. 39 p. 28. Moneo propter Zellerum II, 869, 1 ‖ 1 ἄττα om. N^a ‖ σώματα $LPQH^aU^aW^aZ^a$ ‖ 2 οὐδὲν W^a ‖ 3 post πρότερα add. W^a τὴν φύσιν ‖ 5 τι om. PW^aZ^a ‖ 6 τοῦ add. NZ^a ‖ τε L ‖ 8 τῶ P ‖ 9 ἀμερῶς W^a ‖ πάντη N ‖ ἔσται LH^aU^a ‖ 11 χρόνῳ Q, om. ceteri ‖ 12 διαφέρει H^a, om. QU^a ‖ δ' ἡ] δὴ N ‖ 15 post ἐνδέχεται add. N ἂν, recte fortasse ‖ 16 χρόνον U^a ‖ τις om. LH^aZ^a ‖ 17 γραμμή QZ^a, om. ceteri ‖ 19 μετρούμεναι, πᾶσαί εἰσιν σύμμετροι N: σύμμετροι πᾶσαί εἰσιν μετρούμεναι ceteri ‖ 20 ἄν om. Z^a ‖ 21 πᾶσαι μετρηθήσονται N: μετρηθήσονται πᾶσαι ceteri ‖ τοῦτο] τοῦ W^a ‖ 22 μέρη] μέτρη Z^a ‖ post μέρη add. Q (non Z^a) τούτου οὐ ‖ 23 εἶναι W^a, εἴη ceteri, fort. ἂν εἶναι ‖ διπλασίαν rc. N: διπλάσιον LW^a, διπλασία ceteri ‖ τῆς ἡμίσυος Z^a ut videtur

πρός γε τὴν ὑποκειμένην σκέψιν αὐτὸ τὸ ἐξ ἀρχῆς λαμβάνουσιν. μᾶλλον δὲ ὅσῳ μᾶλλον τὸ ἐξ ἀρχῆς δόξειεν ἂν λαμβάνεσθαι, τόσῳ μᾶλλον δοκεῖ διαιρετὸν εἶναι σῶμα καὶ μῆκος καὶ τοῖς ὄγκοις καὶ τοῖς διαστήμασιν. ὁ δὲ τοῦ Ζήνωνος λόγος οὐ συμβιβάζει ὡς ἐν πεπερασμένῳ χρόνῳ τῶν ἀπείρων ἅπτεται τὸ φερόμενον ὡδὶ τὸν αὐτὸν τρόπον. ὁ γὰρ χρόνος καὶ τὸ μῆκος ἄπειρον καὶ πεπερασμένον λέγεται, καὶ τὰς αὐτὰς ἔχει διαιρέσεις. οὐδὲ δὴ τὸ καθ' ἕκαστον ἅπτεσθαι τῶν ἀπείρων τὴν διάνοιαν οὐκ ἔστιν ἀριθμεῖν, εἰ ἄρα τις καὶ νοήσειεν οὕτως ἐφάπτεσθαι τῶν ἀπείρων τὴν διάνοιαν. ὅπερ ἴσως ἀδύνατον· οὐ γὰρ ἐν συνεχέσι καὶ
9b ὑποκειμένοις ἡ τῆς διανοίας κίνησις, ὥσπερ ἡ τῶν φερομένων. εἰ δ' οὖν καὶ ἐγχωρεῖ κινεῖσθαι οὕτως, οὐκ ἔστι τοῦτο ἀριθμεῖν· τὸ γὰρ ἀριθμεῖν ἐστὶ τὸ μετὰ ἐπιστάσεως. ἀλλ' ἄτοπον ἴσως τὸ μὴ δυναμένους λύειν τὸν λόγον δουλεύειν τῇ ἀσθενείᾳ, καὶ προσεξαπατᾶν ἑαυτοὺς μείζους ἀπάτας, βοηθοῦντας τῇ ἀδυναμίᾳ. τὸ δ' ἐπὶ τῶν συμμέτρων γραμμῶν, ὡς ὅτι αἱ πᾶσαι τῷ αὐτῷ τινὶ καὶ ἑνὶ μετροῦνται, κομιδῇ σοφιστικὸν καὶ ἥκιστα κατὰ τὴν ὑπόθεσιν τὴν ἐν τοῖς μαθήμασιν· οὔτε γὰρ ὑποτίθενται οὕτως, οὔτε χρήσιμον αὐτοῖς ἐστίν. ἅμα δὲ καὶ ἐναντίον πᾶσαν μὲν γραμμὴν

1 λαμβάνουσιν om. *LNP*, λαμβάνουσιν — 2 ἀρχῆς om. $H^a W^a$ ‖ 2 μᾶλλον ante τὸ om. *N* ‖ τοῦ *LN*, τὸν Z^a ‖ δόξειεν ἂν λαμβάνεσθαι Bonitz Index Arist. p. 47^b 7: δόξειεν ἀναλαμβάνεσθαι LPW^aZ^a, δόξειαν ἀναλαμβάνεσθαι ceteri ‖ 3 εἶναι] γὰρ *N* ‖ καὶ om. $LNPH^aW^aZ^a$ ‖ 4 μήκους LNH^aW^a ‖ 5 λόγος] λέων pr. *L* ‖ συμβιάζει Z^a ‖ ὡς ἐν πεπερασμένῳ scripsi cf. prolegg.: οὐ συμπεπερασμένῳ codd., τὸ ἐν πεπερασμένῳ Bonitz Ind. Ar. 717^a 29 ‖ 6 ἅπτεται $LNPW^aZ^a$: ἅπτεσθαι ceteri ‖ 7 γὰρ] δὲ $LNPW^a$ ‖ 8 τὰς αὐτὰς scripsi cf. Arist. Phys. 235^a 15 ἀνάγκη τὰς αὐτὰς εἶναι διαιρέσεις τοῦ τε χρόνου καὶ τῆς κινήσεως: τοσαύτας NPW^aZ^a, τόσας ceteri, ἴσας Hayduck ‖ ἔχει] ἔχει τὰς Z^a ‖ δὴ om. Z^a ‖ 10 ἄρα] ἔσται *N* ‖ καὶ νοήσειεν τις Z^a ‖ τῶν ἀπείρων om. *N* ‖ 13 τοῦτο] τὸ W^a ‖ 14 τὸ ante μετὰ delebat Hayduck ‖ ἐπιστασίας LPW^a ‖ 19 κατὰ τὴν ἐν τοῖς μαθήμασιν ὑπόθεσιν *N* ‖ τὴν ἐν] τῶν ἐν Z^a ‖ 21 μὲν] μὲν γὰρ *N*

ἀπείρους οὖν ἔχοι διαιρέσεις ἅπασα ἂν ἡ μὴ ἄτομος. ἔνιαι δὲ τούτων εἰσὶ μικραί· καὶ ἄπειροι οἱ λόγοι. πᾶσαν δὲ τμηθῆναι δυνατὸν τὴν μὴ ἄτομον τὸν ἐπιταχθέντα λόγον. ἔτι εἰ τὸ μέγα ἐκ μικρῶν τινῶν σύγκειται, ἢ οὐθὲν ἔσται τὸ μέγα, ἢ τὸ πεπερασμένας ἔχον διαιρέσεις τὸ μέγα ἔσται. τὸ γὰρ ὅλον τὰς τῶν μερῶν ἔχει διαιρέσεις ὁμοίως. ἄλογον δ' ἐστὶ τό τε σμικρὸν πεπερασμένας ἔχειν διαιρέσεις καὶ τὸ μέγα ἀπείρους· οὕτω δ' ἀξιοῦσιν. ὥστε φανερὸν ὅτι οὐκ ἐν τούτῳ λέγοιτο τὸ μέγα καὶ τὸ μικρόν, τῷ πεπερασμένας ἔχειν καὶ ἀπείρους διαιρέσεις. εἰ δ' ὅτι καὶ ἐν ἀριθμοῖς τὸ ὀλίγον πεπερασμένας ἔχει διαιρέσεις, καὶ ἐν γραμμαῖς τις ἀξιοίη τὸ μικρόν, εὔηθες. ἐκεῖ μὲν γὰρ ἐξ ἀμερῶν τε ἡ γένεσις, καὶ ἔστι τι, ὃ τῶν ἀριθμῶν ἀρχή ἐστι, καὶ πᾶς ὁ μὴ ἄπειρος πεπερασμένας ἔχει διαιρέσεις· ἐπὶ δὲ τῶν μεγεθῶν οὐχ ὁμοίως. οἱ δ' ἐν τοῖς εἴδεσι τὰς ἀτόμους κατασκευάζοντες τοὔλαττον ἴσως ἀξίωμα λαμβάνουσι τοῦ προκειμένου, τὸ τιθέναι τούτων ἰδέας· καὶ τρόπον τινὰ ταῦτ' ἀναιροῦσι δι' ὧν δεικνύουσιν. καὶ γὰρ διὰ τούτων τῶν λόγων ἀναιρεῖται τὰ εἴδη. πάλιν δὲ τῶν σωματικῶν στοιχείων εὔηθες τὸ ἀμερῆ ἀξιοῦν. εἰ γὰρ αὖ καὶ ἀποφαίνονταί τινες οὕτως, ἀλλὰ

punxi ‖ 1 *ἀπείρως Hᵃ* ‖ *οὖν* scripsi: *ἂν* codd. ‖ *ἂν ἡ μὴ ἄτομος NZᵃ*: *ὡς ἡ μὴ ἄτομος Hᵃ*, *ἡ μὴ ἄτομος ἄν P*, *ἡ μὴ ἄτομον ἄν Wᵃ*, *ἡ μὴ ἄτομος* ceteri ‖ 2 *τούτων*] *τῶν Wᵃ* ‖ *εἰσὶ μικραί* scripsi: *εἰς μικρὰν NHᵃ*, *εἰς μικρὰ LZᵃ*, *εἰς μακρὰ* ceteri ‖ post *μικραί* interpunxi ‖ *οἱ λόγοι*] *ὀλίγον LPHᵃ Wᵃ*, *καὶ ὀλίγον Zᵃ* ‖ 3 *τὴν μὴ*] *τομὴν τὴν Hᵃ* ‖ *τὸν ἐπιταχθέντα* post *τμηθῆναι* omnes praeter *N* ‖ *λόγον* add. editio princeps ‖ *εἰ* om. *LNP Hᵃ Wᵃ Zᵃ* ‖ 5 *διαίρεσιν Zᵃ* ‖ *τὸ μέγα* scripsi: *οὐ μέγα* codd., *μέγα* Hayduck ‖ 6 *μερῶν*] *μεγάλων LHᵃ* ‖ *ἔχειν Hᵃ* ‖ *ἄλογον* scripsi cf. prolegg.: *εὔλογον* codd., *εὔλογον δ'* om. *Zᵃ* ‖ *ἐστὶ*] *ἂν N* ‖ 7 *μικρὸν Wᵃ Zᵃ* ‖ *πεπερασμένας ἔχον διαιρέσεις LPHᵃ*, *ἔχον πεπερασμένας διαιρέσεις Zᵃ* ‖ 8 *ἀπείρως Wᵃ* ‖ *οὕτω δ'* scripsi: *οὕτως* codd. ‖ 9 *καὶ ἀπείρους* — 11 *ἔχει* om. *Zᵃ* ‖ 11 *ἀξιοῖ NZᵃ* ‖ 13 *τι*] *τις Zᵃ* ‖ *ὃ* — *ἐστι QUᵃ*, om. ceteri ‖ 15 *οἱ δ'*] *οὐδ' Zᵃ* ‖ *τοὺς P* ‖ 16 *ἀξιοῦσι Zᵃ* ‖ 17 *ὧν QUᵃ*: *οὐ* ceteri ‖ 18 *διὰ γὰρ N* ‖ *τῷ λόγῳ* LPHᵃ ‖ *τῷ εἴδει* LHᵃ

πρός γε τὴν ὑποκειμένην σκέψιν αὐτὸ τὸ ἐξ ἀρχῆς λαμβάνουσιν. μᾶλλον δὲ ὅσῳ μᾶλλον τὸ ἐξ ἀρχῆς δόξειεν ἂν λαμβάνεσθαι, τόσῳ μᾶλλον δοκεῖ διαιρετὸν εἶναι σῶμα καὶ μῆκος καὶ τοῖς ὄγκοις καὶ τοῖς διαστήμασιν. ὁ δὲ τοῦ Ζήνωνος λόγος οὐ συμβιβάζει ὡς ἐν πεπερασμένῳ χρόνῳ τῶν ἀπείρων ἅπτεται τὸ φερόμενον ὡδὶ τὸν αὐτὸν τρόπον. ὁ γὰρ χρόνος καὶ τὸ μῆκος ἄπειρον καὶ πεπερασμένον λέγεται, καὶ τὰς αὐτὰς ἔχει διαιρέσεις. οὐδὲ δὴ τὸ καθ' ἕκαστον ἅπτεσθαι τῶν ἀπείρων τὴν διάνοιαν οὐκ ἔστιν ἀριθμεῖν, εἰ ἄρα τις καὶ νοήσειεν οὕτως ἐφάπτεσθαι τῶν ἀπείρων τὴν διάνοιαν. ὅπερ ἴσως ἀδύνατον· οὐ γὰρ ἐν συνεχέσι καὶ
969b *ὑποκειμένοις ἡ τῆς διανοίας κίνησις, ὥσπερ ἡ τῶν φερομένων. εἰ δ' οὖν καὶ ἐγχωρεῖ κινεῖσθαι οὕτως, οὐκ ἔστι τοῦτο ἀριθμεῖν· τὸ γὰρ ἀριθμεῖν ἐστὶ τὸ μετὰ ἐπιστάσεως. ἀλλ' ἄτοπον ἴσως τὸ μὴ δυναμένους λύειν τὸν λόγον δουλεύειν τῇ ἀσθενείᾳ, καὶ προσεξαπατᾶν ἑαυτοὺς μείζους ἀπάτας, βοηθοῦντας τῇ ἀδυναμίᾳ. τὸ δ' ἐπὶ τῶν συμμέτρων γραμμῶν, ὡς ὅτι αἱ πᾶσαι τῷ αὐτῷ τινὶ καὶ ἑνὶ μετροῦνται, κομιδῇ σοφιστικὸν καὶ ἥκιστα κατὰ τὴν ὑπόθεσιν τὴν ἐν τοῖς μαθήμασιν· οὔτε γὰρ ὑποτίθενται οὕτως, οὔτε χρήσιμον αὐτοῖς ἐστίν. ἅμα δὲ καὶ ἐναντίον πᾶσαν μὲν γραμμὴν*

1 *λαμβάνουσιν* om. *LNP*, *λαμβάνουσιν* — 2 *ἀρχῆς* om. $H^a W^a$ ‖ 2 *μᾶλλον* ante *τὸ* om. *N* ‖ *τοῦ LN*, *τὸν* Z^a ‖ *δόξειεν ἂν λαμβάνεσθαι* Bonitz Index Arist. p. 47b 7: *δόξειεν ἀναλαμβάνεσθαι* LPW^aZ^a, *δόξειαν ἀναλαμβάνεσθαι* ceteri ‖ 3 *εἶναι*] *γὰρ N* ‖ *καὶ* om. $LNPH^aW^aZ^a$ ‖ 4 *μήκους* LNH^aW^a ‖ 5 *λόγος*] *λέων* pr. *L* ‖ *συμβιάζει* Z^a ‖ *ὡς ἐν πεπερασμένῳ* scripsi cf. prolegg.: *οὐ συμπεπερασμένῳ* codd., *τὸ ἐν πεπερασμένῳ* Bonitz Ind. Ar. 717a 29 ‖ 6 *ἅπτεται* $LNPW^aZ^a$: *ἅπτεσθαι* ceteri ‖ 7 *γὰρ*] *δὲ* $LNPW^a$ ‖ 8 *τὰς αὐτὰς* scripsi cf. Arist. Phys. 235a 15 *ἀνάγκη τὰς αὐτὰς εἶναι διαιρέσεις τοῦ τε χρόνου καὶ τῆς κινήσεως*: *τοσαύτας* NPW^aZ^a, *τόσας* ceteri, *ἴσας* Hayduck ‖ *ἔχει*] *ἔχει τὰς* Z^a ‖ *δὴ* om. Z^a ‖ 10 *ἄρα*] *ἔσται N* ‖ *καὶ νοήσειεν τις* Z^a ‖ *τῶν ἀπείρων* om. *N* ‖ 13 *τοῦτο*] *τὸ* W^a ‖ 14 *τὸ* ante *μετὰ* delebat Hayduck ‖ *ἐπιστασίας* LPW^a ‖ 19 *κατὰ τὴν ἐν τοῖς μαθήμασιν ὑπόθεσιν N* ‖ *τὴν ἐν*] *τῶν ἐν* Z^a ‖ 21 *μὲν*] *μὲν γὰρ N*

σύμμετρον γίνεσθαι, πασῶν δὲ τῶν συμμέτρων κοινὸν μέτρον εἶναι ἀξιοῦν. ὥστε γελοῖον τὸ καὶ τὰς ἐκείνων δόξας καὶ ἐξ ὧν αὐτοὶ λέγουσι φάσκοντες δείξειν εἰς ἐριστικὸν ἅμα καὶ σοφιστικὸν ἐκκλίνειν λόγον, καὶ ταῦθ' οὕτως ἀσθενῆ. πολλαχῇ γὰρ ἀσθενής ἐστι καὶ πάντα τρόπον διαφυγεῖν καὶ τὰ παράδοξα καὶ τοὺς ἐλέγχους. ἔτι δ' ἄτοπον ἂν εἴη διὰ μὲν τὸν Ζήνωνος λόγον παραπεπεῖσθαί τινας ἀτόμους ποιεῖν γραμμάς, τῷ μὴ ἔχειν ἀντειπεῖν· διὰ δὲ ⟨τὴν⟩ τῆς εὐθείας εἰς τὸ ἡμικύκλιον κίνησιν, ἣν ἀναγκαῖον εἶθ' ὑποτείνειν ἀπείρων μεταξὺ πιπτουσῶν περιφερειῶν καὶ διαστημάτων ὄντων, καὶ πάλιν διὰ τὴν [τῶν] εἰς τὸν κύκλον εὔπειστον ὅτι ἀνάγκη ἀν' ὁτιοῦν κινηθῆναι, εἰ εἰς τὸ ἡμικύκλιον κινεῖται, καὶ ὅσα ἄλλα τοιαῦτα τεθεώρηται περὶ τὰς γραμμὰς μὴ οἷόν τε ἐνδέχεσθαι τοιαύτην δή τινα γενέσθαι κίνησιν, ὥστ' ἐφ' ἕκαστον τῶν μεταξὺ μὴ πίπτειν πρότερον· πολὺ γὰρ ταῦτα μᾶλλον ὁμολογούμενα ἐκείνων. ὅτι μὲν οὖν ἔκ γε τῶν εἰρημένων λόγων οὔτ' ἀναγκαῖον ἀτόμους εἶναι γραμμὰς οὔτε πιθανόν, φανερόν. ἔτι δὲ καὶ ἐκ τῶνδε γένοιτ' ἂν φανερώτερον. πρῶτον μὲν ἐκ τῶν ἐν τοῖς

1 *σύμμετρον*] *τε* *N*, om. *LP*$W^a$$Z^a$ ‖ 2 *εἶναι*] *ἔτι* *LP*W^a et ante *κοινὸν* *N*Z^a. Locus non sanus videtur ‖ *τὸ* om. W^a ‖ *καὶ* *N*: *κατὰ* ceteri, vulgo cf. proll. ‖ 4 *ἐγκλίνειν* *LP*W^a, *ἐγκλίναι* *N*, om. Z^a ‖ 5 *πολλαχῶς* *LP*W^a ‖ 7 *τὸν*] *τοῦ* Z^a ‖ *πεπεῖσθαι* *N*, *παραπεῖσθαι* Z^a ‖ *τινα* et 8 *τὸ* W^a ‖ 9 *τὴν* addidi ‖ *ἡμικύκλιον* *N*Z^a, *ἡμιο* . . . . *P*, *ἡμιόλιον* ceteri ‖ 10 *εἶθ' ὑποτείνειν* scripsi v. prolegg.: *εὐθὺς τέμνειν* codd., *εὐθὺ τέμνειν* vulgo ‖ *περιφερῆ* *N* ‖ 11 *τὴν* om. Z^a ‖ *τῶν* expunxi ‖ *εἰς τὸν κύκλον* scripsi v. proll.: *ἴσων κύκλων* codd. praeter *N*, qui habet *ἴσων κεφαλαίων* ‖ 12 *εὔπειστον*] *εὔπιστον* *L*, *ἐπιστήμην* *N* ‖ *ἀν' ὁτιοῦν* scripsi v. proll.: *κἂν ὅτι* *L*, *ἂν ὅτι* ceteri ‖ *κινηθῆναι* *N*Z^a: *κινηθῇ* ceteri ‖ *εἰ εἰς τὸ* scripsi: *μεῖζον* codd. ‖ 13 *ἡμικύκλον* *P* ‖ *κινεῖται* scripsi: *κινεῖσθαι* codd. ‖ *τοιαῦτα* om. *N* ‖ *θεωρεῖται* *P* ‖ *παρὰ* *P*W^a ‖ 14 *οἷόν τε*] *οἴονται* *P*Z^a ‖ *τοιαῦτα* Z^a ‖ *δέ* *LNP*$W^a$$Z^a$ ‖ 15 *ὡς τῇ* (*τῆς* Z^a) *LPWZ*^{a} ‖ *ἕκαστον* *LP*$W^a$$Z^a$: *ἑκάστην* ceteri ‖ *μὴ* om. *N* ‖ 16 *μᾶλλον* om. *N* ‖ 17 *γε*] *τε* *LP*W^a, om. Z^a ‖ *λέγων* *L* ‖ 18 *καὶ* om. *P*Z^a ‖ 19 *τῶνδ' ἂν γένοιτο φανερόν* *N*, τῶνδε φανερώτερον γένοιτ' ἂν Z^a

μαθήμασι δεικνυμένων καὶ τιθεμένων, ἃ δίκαιον ἢ μένειν ἢ πιστοτέροις λόγοις κινεῖν. οὔτε γὰρ ὁ τῆς γραμμῆς οὔτε ὁ τῆς εὐθείας ὅρος ἐφαρμόσει τῇ ἀτόμῳ διὰ τὸ μήτε μεταξὺ τινῶν εἶναι μήτ' ἔχειν μέσον. ἔπειτα πᾶσαι αἱ γραμμαὶ σύμμετροι ἔσονται. πᾶσαι γὰρ ὑπὸ τῶν ἀτόμων μετρηθήσονται, αἵ τε μήκει σύμμετροι καὶ αἱ δυνάμει. αἱ δὲ ἄτομοι σύμμετροι πᾶσαι μήκει· ἴσαι γάρ· ὥστε καὶ δυνάμει. εἰ δὲ τοῦτο, ἀεὶ ῥητὸν ἔσται τὸ τετράγωνον. ἔτι εἰ ἡ παρὰ τὴν μείζω τὸ πλάτος ποιεῖ παραβαλλομένη, τὸ ἴσον τῷ ἀπὸ τῆς ἀτόμου καὶ τῆς ποδιαίας παραβαλλόμενον παρὰ τὴν διπλῆν ἔλαττον ποιήσει τὸ πλάτος τῆς ἀμεροῦς· ἔσται ⟨γὰρ⟩ ἔλαττον τοῦ ἀπὸ τῆς ἀτόμου. ἔτι εἰ ἐκ τριῶν δοθεισῶν εὐθειῶν συνίσταται τρίγωνον, καὶ ἐκ τῶν ἀτόμων συσταθήσεται. ἐν ἅπαντι δὲ ἰσοπλεύρῳ ἡ κάθετος ἐπὶ μέσην πίπτει, ὥστε καὶ ἐπὶ τὴν ἄτομον. ἔτι εἰ τὸ τετράγωνον τῶν ἀμερῶν, διαμέτρου ἐμπεσούσης καὶ καθέτου ἀχθείσης ἡ τοῦ τετραγώνου πλευρὰ τὴν κάθετον δύναται καὶ τὴν ἡμίσειαν τῆς διαμέτρου, ὥστε οὐκ ἐλαχίστη. οὐδὲ διπλάσιον τὸ ἀπὸ τῆς διαμέτρου χωρίον ἔσται τοῦ ἀπὸ τῆς ἀτόμου. ἀφαιρεθέντος

1 *δεικνυμάτων* N ‖ *ἃ δίκαιον ἢ μένειν ἢ πιστοτέροις* NZª: *ἃ δίκαιον ἢ πιστοτέροις* LPWª, *ἃ οὐ δίκαιον ἢ πιστοτέροις* ceteri cf. Arist. de coelo 299ª 5 sq. *καίτοι δίκαιον ἦν ἢ μὴ κινεῖν ἢ πιστοτέροις αὐτὰ λόγοις κινεῖν τῶν ὑποθέσεων* ‖ 2 *οὐθ' ὁ* Zª ‖ 3 *ὅρος* om. N ‖ *διὰ* et *μήτε* om. Zª ‖ 4 *πᾶσα* et 5 *μετρηθήσεται* L ‖ 5 *τοῦ ἀτόμου* N ‖ 7 *πᾶσαι* om. NZª ‖ *ὥσπερ* Zª ‖ 8 *ἀεὶ ῥητὸν* scripsi cf. prolegg.: *διαιρετὸν* codd. ‖ *ἔσται*] *ἐστι* NPWªZª ‖ *ἡ* om. NZª ‖ *παρὰ* PWª: *περὶ* ceteri ‖ 9 *περιβαλλομένη* LPZª, *παραλαμβανόμενον* N ‖ *τῷ* scripsi cf. prolegg.: *τὸ* LPWª, *τῆς* N, *τῶν* ceteri ‖ 10 *παραβαλλόμενον* LPWª: *περιβαλλόμενον* Zª, *παραλαμβανόμενον* N, *παραβαλλομένων* ceteri ‖ *παρὰ τὴν διπλῆν* (vel *δίποδα*) scripsi: *περὶ τὴν δίπουν* codd. ‖ 11 *ἐλάττω* N ‖ *ποιῇ* Zª ‖ *γὰρ* addidi ‖ 12 *τοῦ ἀπὸ* scripsi cf. prolegg.: *τὸ παρὰ* PWª, *τὸ περὶ* ceteri ‖ 13 *συσταθήσεται*] *συσταίη ἂν* L ‖ 14 *μέσον* NZª ‖ 15 *τετράγωνον* in lacuna om. LPWª ‖ *ἀμέτρων* Zª ‖ post *ἀμερῶν* recte commate distinctum in Didotiana ‖ *διαμέτρου* scripsi cf. prolegg.: *διὰ μέσου* codd. ‖ 17 *πλευρὰ* om. L ‖ 18 *ἀμέτρου* Wª ‖ 19 *ἀπὸ τῆς*

γὰρ τοῦ ἴσου ἡ λοιπὴ ἔσται ἐλάσσων τῆς ἀμεροῦς· εἰ γὰρ ἴση, τετραπλάσιον ἂν ἔγραψεν ἡ διάμετρος· ἄλλα δ' ἄν τις καὶ ἕτερα τοιαῦτα συνάγοι· πᾶσι γὰρ ὡς εἰπεῖν ἐναντιοῦται τοῖς ἐν τοῖς μαθήμασιν. πάλιν τοῦ μὲν ἀμεροῦς μία ἡ σύναψις, γραμμῆς δὲ δύο· καὶ γὰρ ὅλη ὅλης ἅπτεται, καὶ κατὰ τὸ πέρας ἐξ ἐναντίας. ἔτι γραμμὴ ⟨γραμμῇ⟩ προστεθεῖσα οὐ ποιήσει μείζω τὴν ὅλην· τὰ γὰρ ἀμερῆ συντιθέμενα οὐ ποιήσει μεῖζον. ἔτι ⟨εἰ⟩ ἐκ δυοῖν ἀμεροῖν μηδὲν γίνεται συνεχὲς διὰ τὸ πλείους διαιρέσεις ἔχειν ἅπαν τὸ συνεχές, ἅπασα δὲ γραμμὴ παρὰ τὴν ἄτομον συνεχής, οὐκ ἂν εἴη γραμμὴ ἄτομος. ἔτι εἰ ἅπασα γραμμὴ παρὰ τὴν ἄτομον καὶ εἰς ἴσα καὶ ἄνισα διαιρεῖται, κἂν ᾖ ἐκ τριῶν ἀτόμων καὶ ὅλως περιττῶν, ἔσται διαιρετὴ ἡ ἄτομος. ὁμοίως δὲ κἂν εἰ δίχα τέμνεται· πᾶσα γὰρ ἡ ἐκ τῶν περιττῶν. εἰ δὲ δίχα μὲν μὴ πᾶσα τέμνεται, ἀλλ' ἡ ἐκ τῶν ἀρτίων, τὴν δὲ δίχα διαιρουμένην καὶ ὁσαοῦν δυνατὸν τέμνειν, διαιρεθήσεται καὶ οὕτως ἡ ἄτομος, ὅταν ἡ ἐκ τῶν ἀρτίων εἰς ἄνισα διαιρῆται. πάλιν εἰ τὸ κεκινημένον, ἐν ᾧ χρόνῳ κινεῖται τὴν ὅλην, ἐν

om. Z^a, *τοῦ* pro *τῆς* PW^a ‖ 1 *ἔλαττον* Z^a ‖ 2 *ἴση* *N*: *ἴσης* Z^a, *ἴσως* ceteri ‖ post *ἴση* distinxi ‖ *ἄλλα*] an *ἄλογα*? ‖ 4 *ἐν τοῖς*] *τοιούτοις* *L*, om. Z^a ‖ 5 *γραμμὴ* LPW^a ‖ *δευτέρας* *N* ‖ *ὅλως* *P* cf. Arist. de coelo 299^b 25 ‖ 6 *ἐναντίου* *LP* ‖ *γραμμῇ* addidi cf. prolegg. ‖ 7 *ποιήσει* *LP*: *ποιεῖ* ceteri ‖ *συντεθειμένα οὐ ποιεῖ* W^a ‖ 8 *μείζω* *N* ‖ post *μεῖζον* veteres edd. add. *τὸ πρότερον* ‖ *εἰ* addidi cf. prolegg. ‖ *γίνεται* scripsi cf. prolegg.: *γίνεσθαι* codd. ‖ 9 *τὸ* om. Z^a ‖ *διαιρέσεις* om. LPW^aZ^a ‖ 10 post *συνεχής* commate interpunxi cf. prolegg. ‖ *ἅπασα — 11 ἄτομος* om. *N* ‖ 11 *εἰ*] *ἡ* W^a ‖ *περὶ* *LNP*, om. Z^a ‖ *τὴν ἄτομον* Hayduck: *τῆς ἀτόμου* codd., om. Z^a ‖ 12 *εἰς* add. *L* ‖ *διαιρεῖται, κἂν ᾖ ἐκ* scripsi cf. prolegg.: *διαιρεῖται καὶ μὴ ἐκ* codd.; *διαιρεῖται ⟨εἰ μὲν ἄνισα διαιρεῖται⟩ καὶ μή ⟨ἐστιν⟩ ἐκ* Hayduck ‖ 13 *ὅλη περιττοῦ* W^a ‖ *ἔσται διαιρετὴ* Hayduck (*διαιρετὸς* Didotiana): *ὥστ' ἀδιαίρετος* codd. ‖ *ἡ*] *εἴη ἡ* Z^a ‖ 14 *διχῇ* *LP*, *διχῶς* Z^a ‖ *τέμνηται* *LNP* ‖ post *τέμνεται* Z^a rasuram sex litterarum, deinde *ἡ ἐκ τῶν*, in mrg. *πᾶσα* ut videtur ‖ 15 *πᾶσα δὲ τέμνεται* NW^a ‖ 16 *ὁσαοῦν* Hayduck: *ὅσα* codd. ‖ 17 *αὕτη* *N* ‖ *ἡ* ante *ἐκ* om. LPZ^a ‖ διαιρεῖται PW^a

τῷ ἡμίσει τὴν ἡμίσειαν κινηθήσεται καὶ ἐν τῷ ἐλάττονι ἔλαττον ἢ τὴν ἡμίσειαν, ὥστ' εἰ μὲν ⟨ἐκ⟩ περιττῶν σύγκειται τῶν ἀτόμων τὸ μῆκος, ἀναιρεθήσεται ἡ μέση τομὴ τῶν ἀτόμων, εἴπερ ἐν τῷ ἡμίσει χρόνῳ τὸ ἥμισυ δίεισιν· ὁμοίως γὰρ ὅ τε χρόνος καὶ ἡ γραμμὴ τμηθήσεται. ὥστε οὐδεμία τῶν συγκειμένων τμηθήσεται εἰς ἴσα καὶ ἄνισα· εἰ δ' ὁμοίως τοῖς χρόνοις τμηθήσονται, οὐκ ἔσονται ἄτομοι γραμμαί. τὰ δὲ τοῦ αὐτοῦ λόγου ἐστί, καθάπερ ἐλέχθη, τὸ πάντα ταῦτα ποιεῖν ἐξ ἀμερῶν. ἔτι ἅπασα ἡ μὴ ἄπειρος δύο ἔχει πέρατα· γραμμὴ γὰρ ὥρισται τούτοις. ἡ δὲ ἄτομος οὐκ ἄπειρος, ὥστε ἕξει πέρας. διαιρετὴ ἄρα· τὸ γὰρ πέρας ἄλλο καὶ οὗ πέρας. ἢ ἔσται τις οὔτ' ἄπειρος οὔτε πεπερασμένη γραμμὴ παρὰ ταύτας. ἔτι οὐκ ἐν ἁπάσῃ γραμμῇ στιγμὴ ἔσται. ἐν μὲν γὰρ τῇ ἀτόμῳ οὐκ ἔσται· εἰ μὲν γὰρ μία μόνη ὑπάρξει, γραμμὴ ἔσται στιγμή· εἰ δὲ πλείους, διαιρετὴ ἡ γραμμή. εἰ μὲν οὖν ἐν τῇ ἀτόμῳ μὴ ἐνυπάρχει στιγμή, οὐδ' ὅλως ἐν γραμμῇ ἔσται· αἱ γὰρ ἄλλαι ἐκ τῶν ἀτόμων. ἔτι ἢ μηθὲν τῶν στιγμῶν ἔσται μεταξὺ ἢ γραμμή· εἰ δὲ μεταξὺ γραμμή, ἐν ἁπάσαις δὲ πλείους στιγμαί, οὐκ ἔσται ἄτομος. ἔτι οὐχ ἁπάσης ἔσται γραμμῆς τετράγωνον· ἕξει γὰρ μῆκος καὶ πλάτος, ὥστε διαιρετόν, ἐπεὶ τὸ μέν, τὸ

2 μὲν] μεν τῶν Z^a ‖ ἐκ add. Hayduck ‖ 3 τὸ — 4 ἀτόμων om. W^a ‖ 3 τὸ μῆκος τῶν ἀτόμων Z^a ‖ ἀνερεθήσεται Z^a fort. scribendum αὖ εὑρεθήσεται ‖ 4 τῶν ἀτόμων τομή Z^a ‖ 5 ὁμοίως bis ponit W^a ‖ 6 ἄνισα καὶ ἴσα $N W^a$ ‖ εἰ δ' scripsi: οὐδ' codd. cf. prolegg. ‖ 7 pro οὐκ malebat εἰ Hayduck ‖ 8 καθάπερ ἐλέχθη] p. 145, 7 significari videtur ‖ 9 ταῦτα πάντα LP ‖ 10 γραμμαὶ N ‖ τούτων LPW^a ‖ 11 ἄρα] ἔσται N ‖ 12 ἄλλο Bekker: ἄλλου codd. ‖ 13 περὶ ταῦτα LPZ^a ‖ 14 οὐκ ἔσται $L W^a$: οὐκ ἔστιν cet. ‖ μὲν] μὴ L ‖ 15 μία] μάλιστα LPZ^a ‖ fort. ἐνυπάρξει post ὑπάρξει commate distinxi, ut apodosis incipiat a γραμμή cf. prolegg. ‖ ἔσται scripsi: εἶτα codd. ‖ ἔσται — 16 γραμμή om. W^a ‖ 16 τῇ] τῷ Z^a ‖ 18 ἢ] εἰ LPZ^a ‖ μεταξὺ τῶν στιγμῶν ἔσται NZ^a ‖ ἢ] ἡ L, ἡ Z^a ‖ 19 μεταξὺ γραμμή] μεταξὺ, ἄρα γραμμή edit. princ., vulgo ‖ γραμμῆς Z^a ‖ 20 ἁπάσῃ ἔσται γραμμῇ τετραγώνῳ N ‖ 21 διαιρετέον NPW^a

δέ τι. εἰ δὲ τὸ τετράγωνον, καὶ ἡ γραμμή. ἔτι τὸ πέρας τῆς γραμμῆς γραμμὴ ἔσται, ἀλλ' οὐ στιγμή. πέρας μὲν γὰρ τὸ ἔσχατον, ⟨ἔσχατον⟩ δὲ ἡ ἄτομος. εἰ γὰρ στιγμὴ τὸ πέρας, ⟨πέρας⟩ τῇ ἀτόμῳ ἔσται στιγμή, καὶ ἔσται γραμμὴ γραμμῆς στιγμῇ μείζων. εἰ δ' ἐνυπάρχει τῇ ἀτόμῳ ἡ στιγμή, διὰ τὸ ταὐτὸ πέρας τῶν συνεχουσῶν γραμμῶν ἔσται τι πέρας τῆς ἀμεροῦς. ὅλως τε τί διοίσει στιγμὴ γραμμῆς; οὐδὲν γὰρ ἴδιον ἕξει ἡ ἄτομος γραμμὴ παρὰ τὴν στιγμὴν πλὴν τοὔνομα. ἔτι ὁμοίως μὲν καὶ ἐπίπεδον καὶ σῶμα ἔσται ἄτομον. ἑνὸς γὰρ ὄντος ἀδιαιρέτου καὶ τἆλλα συνακολουθήσει διὰ τὸ θάτερον διῃρῆσθαι κατὰ θάτερον. σῶμα δὲ οὐκ ἐστὶν ἀδιαίρετον διὰ τὸ εἶναι ἐν αὐτῷ βάθος καὶ πλάτος· οὐδ' ⟨ἄρ'⟩ ἂν γραμμὴ εἴη ἀδιαίρετος· σῶμα μὲν γὰρ κατ' ἐπίπεδον, ἐπίπεδον δὲ κατὰ γραμμήν. ἐπεὶ δὲ οἵ τε λόγοι, δι' ὧν ἐπιχειροῦσι πείθειν, ἀσθενεῖς εἰσὶ καὶ ψευδεῖς, ἐναντίαι δὲ δόξαι πᾶσι τοῖς ἰσχύουσι πρὸς πίστιν, φανερὸν ὅτι οὐκ ἂν εἴη γραμμὴ ἄτομος. δῆλον δ' ἐκ τούτων ὅτι οὐδ' ἂν ἐκ στιγμῶν εἴη γραμμή. σχεδὸν γὰρ οἱ πλεῖστοι τῶν λόγων οἱ αὐτοὶ ἁρμόσουσιν. ἀνάγκη γὰρ διαιρεῖσθαι

1 τὸ post δὲ om. N ‖ ἔτι] ἄρα ἔτι edit. princ., vulgo ‖ πέρας] περὶ Z^a ut videtur ‖ 2 τῆς om. Z^a ‖ γραμμῆς γραμμὴ ἔσται, ἀλλ' οὐ στιγμή Hayduck: γραμμῆς στιγμὴ ἔσται (ἐστιν N), ἀλλ' οὐ γραμμή codd. ‖ 3 ἔσχατον add. Didotiana ‖ εἰ] ἡ L P W^a Z^a ‖ 4 πέρας addendum putavi ‖ 5 γραμμῆς στιγμῇ] στιγμὴ N ‖ εἰ ὑπάρχει W^a ‖ 6 συνεχῶν N ‖ ἐστι W^a ‖ τι] τὸ L W^a ‖ 7 δὲ N ‖ τί om. L ‖ 8 περὶ Z^a ‖ 9 ἔτι] ἔτι εἰ N ‖ μὲν καὶ scripsi cf. proll.: μένει codd., μήκει Hayduck ‖ ἔσται Hayduck: ἐστιν codd. ‖ 10 συνακολουθεῖ L ‖ 11 διαιρεῖσθαι Z^a ‖ δὲ add. edit. princ., vulgo ‖ 12 ἐστὶν N Z^a: ἔσται ceteri ‖ 13 οὐδ' ἄρ' ἂν γραμμὴ εἴη scripsi: οὐδ' ἂν γραμμὴ εἴη codd., οὐδὲ γραμμὴ εἴη ἂν edit. princ., vulgo, ὥστ' οὐδ' ἂν γραμμὴ εἴη Hayduck ‖ γὰρ om. L ‖ 14 ἐπίπεδον δὲ] αὐτὸ δὲ L U^a ‖ γε N ‖ 16 δὲ add. N ‖ πᾶσι P: πᾶσαι ceteri ‖ 17 ἐκ τούτων et οὐδ' ἂν om. L P ‖ 18 δ' ἐκ τῶν στιγμῶν εἴη ἡ γραμμή Z^a ‖ γραμμή] γραμμὴ ἄτομος. δῆλον δὲ ἐκ στιγμῶν εἴη γραμμή N ‖ 19 τῶν om. L P ‖ ἀνάγκη — p. 151, 1 στιγμὴν om. Z^a

τὴν στιγμήν, ὅταν ἢ ⟨ἡ⟩ ἐκ περιττῶν τέμνηται ἴσα ἢ ⟨ἡ⟩ ἐξ ἀρτίων τὰ ἄνισα· καὶ τὸ τῆς γραμμῆς μέρος μὴ εἶναι γραμμήν, μηδὲ τὸ τοῦ ἐπιπέδου ἐπίπεδον· καὶ γραμμὴν δὲ γραμμῆς στιγμῇ εἶναι μείζω· ἐξ ὧν γὰρ σύγκειται, τούτοις καὶ ὑπερέξει. τοῦτο δ' ὅτι ἀδύνατον, ἔκ τε τῶν ἐν τοῖς μαθήμασι δῆλον, καὶ ἔτι συμβήσεται τὴν στιγμὴν ἐν χρόνῳ διϊέναι τὸ φερόμενον, εἴπερ τὴν μείζω μὲν ἐν πλείονι χρόνῳ, τὴν δ' ἴσην ἐν ἴσῳ, ἡ δὲ τοῦ χρόνου ὑπεροχὴ χρόνος. ἀλλ' ἴσως καὶ ὁ χρόνος ἐστὶν ἐκ τῶν νῦν, καὶ τοῦ αὐτοῦ λόγου λέγειν ἄμφω. εἰ δὴ τὸ νῦν ἀρχὴ καὶ πέρας τοῦ χρόνου καὶ ἡ στιγμὴ γραμμῆς, μή ἐστι δὲ συνεχὴς ἡ ἀρχὴ καὶ τὸ πέρας, ἀλλ' ἔχουσί τι μεταξύ, οὐκ ἂν εἴη οὔτε τὰ νῦν οὔτε στιγμαὶ ἀλλήλοις συνεχεῖς. ἔτι ἡ μὲν γραμμὴ μέγεθός τι, ἡ δὲ τῶν στιγμῶν σύνθεσις οὐδὲν ποιεῖ μέγεθος διὰ τὸ μηδ' ἐπὶ πλείω τόπον ἔχειν. ὅταν γὰρ ἐπὶ γραμμὴν γραμμὴ τεθῇ καὶ ἐφαρμόσῃ, οὐδὲν γίνεται μεῖζον τὸ πλάτος. εἰ δὲ τῇ γραμμῇ καὶ στιγμαὶ ἐνυπάρχουσιν, οὐδ' ἂν αἱ στιγμαὶ πλείω κατέχοιεν τόπον, ὥστε οὐκ ἂν ποιοῖεν μέγεθος. ἔτι εἰ ἅπαντα ἅπτεται παντὸς ἢ ὅλον ὅλου ἢ τινὶ τινὸς ἢ ὅλον τινός, ἡ δὲ στιγμὴ ἀμερής, ὅλως ⟨ἂν⟩ ἅπτοιτο. τὸ δ' ὅλον

1 *ἡ* add. Hayduck ‖ *τέμνεται* Z^a ‖ *ἡ* add. Hayduck ‖ 2 *τὰ* om. Z^a ‖ *μέτρος* W^a ‖ 3 *τοῦ* et *ἐπίπεδον* om. W^a ‖ *γραμμὴν* Hayduck: *γραμμὴ* codd. ‖ 4 *στιγμὴ* W^a, *στιγμῆς* *N* ‖ *μείζω* Hayduck: *μείζων* codd. ‖ *τούτου* *L*, *τούτων* PW^a ‖ 5 *καὶ* om. *P* ‖ *ὅτι* om. LPW^aZ^a ‖ *ἔκ τε*] *καὶ ἐκ* *N*, *ἐκ* Z^a ‖ 7 *διϊέναι* Hayduck: *δὴ εἶναι* codd. ‖ 8 *ἴσην*] *ἴσως* *P*, *ἶσον* Z^a ‖ 9 *ἐστὶν*] *ἔστι τι* *LP*, *ἔστι τὸ* W^a ‖ *λόγου*] *χρόνου* Z^a ‖ 10 *λέγει* *P* ‖ *τὸ πέρας* Z^a ‖ 11 *ἡ στιγμὴ γραμμῆς* W^a (cf. Bonitz, Ind. Arist. 162^a 9): *ἡ στιγμὴ γραμμὴ γραμμῆς* *N*, *ἡ γραμμὴ στιγμῆς* ceteri ‖ *ἔστι* om. W^a ‖ *ἡ*] *ὥσπερ ἡ* *LP* ‖ 12 *τι*] *τὸ* *LP* ‖ *οὔτε* om. Z^a ‖ *τὰ νῦν*] *γραμμαὶ* NW^a ‖ 13 *ἀλλήλαις* *LP*, om. Z^a ‖ 14 *οὐδὲ* Z^a ‖ 15 *γραμμὴ*] *ἐπιγραμμὴ* *P* ‖ 16 *ἐφαρμοσέι* Z^a ‖ *εἰ* scripsi: *ἐν* codd. ‖ *στιγμῇ* NZ^a ‖ 17 *ἐνυπάρχουσαι* *P* ‖ 18 *πλεῖον* PZ^a ‖ *κατέχειε* NW^a, *κατέχουσι* *LP* ‖ *ποιεῖεν* *NP*, *ποιεῖ ἐν* W^a, *ποιήσειεν* Z^a ‖ 19 *ἅπτεται ἅπαντα* Z^a ‖ *παντὸς* om. Z^a ‖ *τινι* om. Z^a ‖ 20 post *ἀμερής* commate distinxi, ut ab *ὅλως* apodosis incipiat ‖ *ὅλως*] *ὅλης* PW^a ‖ *ἂν* add. Hayduck, de toto

ὅλου ἁπτόμενον ἀνάγκη ἓν εἶναι. εἰ γάρ τι ἐστὶν ᾗ θάτερον μή ἐστιν, οὐκ ἂν ὅλον ὅλου ἅπτοιτο. εἰ δ' ἅμα ἐστὶ τὰ ἀμερῆ, τὸν αὐτὸν κατέχει τόπον πλείω, ὃν καὶ πρότερον τὸ ἕν· τῶν γὰρ ἅμα ὄντων καὶ μὴ ἐχόντων ἐπέκτασιν καθ' ἑαυτά, ὁ αὐτὸς ἀμφοῖν τόπος. τὸ δ' ἀμερὲς οὐκ ἔχει διάστασιν, ὥστ' οὐκ ἂν εἴη μέγεθος συνεχὲς ἐξ ἀμερῶν. οὐκ ἄρα οὔθ' ἡ γραμμὴ ἐκ στιγμῶν οὔθ' ὁ χρόνος ἐκ τῶν νῦν. ἔτι εἰ ἔστιν ἐκ στιγμῶν, ἅψεται στιγμὴ στιγμῆς· ἐὰν οὖν ἐκ τοῦ *K* ἐκβληθῇ ἡ *AB* καὶ *ΓΔ*, ἅψεται τοῦ *K* καὶ ἡ ἐν τῇ *AK* καὶ ἡ ἐν τῇ *KΔ* στιγμή. ὥστε καὶ ἀλλήλοιν· τὸ γὰρ ἀμερὲς τοῦ ἀμεροῦς ὅλον ὅλου ἐφάπτεται. ὥστε τὸν αὐτὸν ἐφέξει τόπον τοῦ *K*, καὶ ἁπτόμεναι στιγμαὶ ἐν τῷ αὐτῷ τόπῳ ἀλλήλαις. εἰ δ' ἐν τῷ αὐτῷ, καὶ ἅπτονται· τὰ γὰρ ἐν τῷ αὐτῷ τόπῳ ὄντα πρῶτα ἅπτεσθαι ἀναγκαῖον, εἰ δ' οὕτως, εὐθεῖα εὐθείας ἅψεται κατὰ δύο στιγμάς. ἡ γὰρ ἐν τῇ *AK* στιγμὴ καὶ ⟨τῆς ἐν⟩ τῇ *KΓ* καὶ ἑτέρας ἅπτεται

loco longe aliter sentiens atque ego. cf. l. l. p. 167 ‖ 1 ἀνάγκη εἶναι ἕνα Z^a ‖ ἓν om. *N* in lacuna ‖ τι] τις *N*Z^a, scrib. fort. δὶς vel δύ' ‖ 2 ἐστιν ante οὐκ om. Z^a ‖ 3 ἀμερῆ] ἀμέσως *L* ‖ κατέχοι *N*W^a ‖ πλείω *N*$W^a$$Z^a$: πλείων ceteri ‖ ὃν om. Z^a ‖ πρώην *LP* ‖ 4 καθ' ἑαυτὰ scripsi et post interpunxi: κατὰ ταῦτα *LP*$W^a$$Z^a$, κατὰ ταυτὰ ceteri ‖ 6 συνεχὲς om. *N*W^a ‖ 7 ἄρα] ἔσται *N* ‖ ἐκ] ἐκ τῶν Z^a ‖ 8 ἅψηται W^a ‖ οὖν om. *LP* ‖ 9 τοῦ] τὸ *L* ‖ καὶ ἡ ἐν τῇ *AK* καὶ ἡ ἐν τῇ *KΔ* *P*: καὶ (δὲ W^a) ἡ ἐν τῇ (τῷ Z^a) *KΔ* ceteri ‖ 10 ἀλλήλοιν scripsi secutus Hayduckium ἀλλήλων proponentem: ἄλλων *N*, ἄλλῳ W^a, ἄλλῳ τινι ceteri ‖ 11 ὅλου] ὅλω *N*W^a ‖ 12 τόπον om. *LP*Z^a ‖ τοῦ *K* καὶ ἁπτόμεναι] locus manifeste corruptus. Hayduck aut deleri vult verba ἁπτόμεναι στιγμαί aut totum membrum καὶ — ἀλλήλαις post ἐφάπτεται inseri; mihi aliquid excidisse suspicanti in hunc modum locus restituendus videtur: ὥστε τὸν αὐτὸν ἐφέξει τόπον ⟨τῷ *K*· ἔσονται οὖν καὶ αἱ⟩ τοῦ *K* ἁπτόμεναι στιγμαὶ ἐν τῷ αὐτῷ τόπῳ ἀλλήλαις. cf. proll. ‖ 13 δ'] scribendum potius videtur γὰρ ‖ αὐτῷ alterum om. *LP*Z^a ‖ 14 τύπω *N* ‖ πρῶτον W^a, πρώτῳ Hayduck (cf. ind. Ar. 653^b 30 sq.) ‖ ἀναγκαίω W^a ‖ 15 εἰ δ' Hayduck: εἶθ' codd. ‖ εὐθεῖα om. Z^a ‖ ἡ] εἰ *N*W^a ‖ 16 καὶ τῆς ἐν τῇ *KΓ* Hayduck: καὶ ἡ τη $\overline{K}$ $\overline{T}$ Z^a, καὶ τῇ *KΓ* ceteri ‖ τῆς ἑτέρας *N*$W^a$$Z^a$ ‖ ἅπτηται *N*

στιγμῆς. ὥστε ἡ ΑΚ τῆς ΓΔ κατὰ πλείους ἅπτεται στιγμάς. ὁ αὐτὸς δὲ λόγος καὶ εἰ μὴ δύ' ἀλλήλων, ἀλλ' ὁποσαιοῦν ἥψαντο γραμμαί. ἔτι καὶ ἡ τοῦ κύκλου τῆς εὐθείας ἅψεται κατὰ πλείω. τῆς γὰρ συναφῆς καὶ ἡ ἐν τῷ κύκλῳ καὶ ἡ ἐν τῇ εὐθείᾳ ἅπτεται καὶ ἀλλήλων. εἰ δὲ τοῦτο μὴ δυνατόν, οὐδὲ τὸ ἅπτεσθαι στιγμὴν στιγμῆς· εἰ δὲ μὴ ἅπτεσθαι, οὐδ' εἶναι τὴν γραμμὴν στιγμῶν· οὐδὲ γὰρ ἅπτεσθαι ἀναγκαῖον. ἔτι πῶς ποτὲ ἔσται εὐθεῖα γραμμὴ καὶ περιφερής; οὐδὲν γὰρ διοίσει ἡ σύναψις τῶν στιγμῶν ἐν τῇ εὐθείᾳ καὶ τῇ περιφερεῖ. τὸ γὰρ ἀμερὲς τοῦ ἀμεροῦς ὅλον ὅλου ἅπτεται, καὶ οὐκ ἔστιν ἄλλως ἅπτεσθαι. εἰ οὖν αἱ μὲν γραμμαὶ διάφοροι, ἡ δὲ σύναψις ἀδιάφορος, οὐκ ἔσται δὴ γραμμὴ ἐκ τῆς συνάψεως, ὥστ' οὐδ' ἐκ στιγμῶν. ἔτι ἀναγκαῖον ἢ ἅπτεσθαι ἢ μὴ ἅπτεσθαι τὰς στιγμὰς ἀλλήλων. εἰ μὲν οὖν τὸ ἐφεξῆς ἅπτεσθαι ἀνάγκη, ὁ αὐτὸς ἔσται λόγος· εἰ δὲ ἐνδέχεται ἐφεξῆς τι εἶναι μὴ ἁπτόμενον, τὸ δὲ συνεχὲς οὐδὲν ἄλλο λέγομεν ἢ τὸ ἐξ ὧν ἐστιν ἁπτομένων, ὥστε καὶ οὕτως ἀνάγκη τὰς στιγμὰς ἅπτεσθαι ἀλλήλων, ἢ εἶναι γραμμὴν 2a *⟨μὴ⟩ συνεχῆ. ἔτι εἰ ἄτοπον στιγμὴ ἐπὶ στιγμῆς, ἵν' ᾖ γραμμὴ καὶ ἐπὶ στιγμῇ, ἐπεὶ ἡ γραμμὴ ἐπίπεδον, ἀδύνατον*

1 *ἡ ΑΚ* Hayduck: *εἰ ἐκ NWa*, *ἡ ἐκ* ceteri ‖ *τοῦ* praebent pro *τῆς LP* ‖ 2 *λόγος*] *λέγει L* ‖ *δύ'* scripsi: *δὲ N*, *δι'* ceteri ‖ *ὁποσαιοῦν ἥψαντο γραμμαί* scripsi: *ὁποσουν ἥψατο γραμμή Za*, *ὁπωσοῦν ἥψατο γραμμῆς* ceteri ‖ 4 *κατὰ*] *τὰ Wa* ‖ 5 *καὶ* om. *Wa* ‖ 6 *στιγμῇ στιγμὴν Za* ‖ 7 *στιγμῶν* Hayduck: *στιγμήν* codd. ‖ *οὐδὲ*] *οὕτω* Hayduck cf. proll. ‖ 8 *ποτὲ*] *τε Wa* ‖ *ἔστιν εὐθεῖα NZa*, *εὐθεῖα ἔσται L*, *εὐθεῖά ἐστι P*, *εὐθεῖά ἐστιν εὐθεῖα Wa* ‖ *παραφερές NP* ‖ *οὐδὲ NWa* ‖ 9 *τῶν στιγμῶν* om. *Za* ‖ *τῇ* post *καὶ* om. *LPWaZa* ‖ *περιφερείᾳ LPZa* ‖ 10 *ἐφάπτεται WaZa*, *ἅπτηται N* ‖ 11 *ἄλλως* Hayduck: *ὅπως Wa*, *ὅλως* ceteri ‖ *διάφορον L* ‖ 12 *ἀδιάφορον L* ‖ 13 *ἔτι δ' Za* ‖ 14 *μὴ ἅπτεσθαι ἢ ἅπτεσθαι L* ‖ 15 *ἐφεξῆς ἂν ἅπτεσθαι LNPWaZa* ‖ *ἐνδέχοιτο LP* ‖ 16 *τι*] *τὸ L* ‖ *εἶναι* om. *Wa* ‖ 18 *ἢ*] *ὃ N* ‖ *γραμμὴ Za* ‖ 19 *μὴ* add. Bonitz Arist. Stud. II III p. 112 ‖ *συνεχῶς NWa*, *συνεχής Za* ‖ *ἐπὶ στιγμῆς, ἵν'*] *ἐπιστήμη*, *ἵνα Za* ‖ *ᾖ*] *ἡ PZa* ‖ 20 *γραμμὴ καὶ ἐπὶ στιγμῇ*] *γραμμὴ καὶ ἐπιστήμης NWa*, *ἐπιστήμη καὶ γραμμή Za*. Locum aperte corruptum sic refingen-

τὰ εἰρημένα εἶναι. εἴτε γὰρ ἐφεξῆς αἱ στιγμαί εἰσι, τμηθήσεται ἡ γραμμὴ κατ' οὐδετέραν τῶν στιγμῶν, ἀλλ' ἀνὰ μέσον· εἴθ' ἅπτονται, γραμμὴ ἔσται τῆς μιᾶς στιγμῆς χώρα. τοῦτο δ' ἀδύνατον. ἔτι διαιροῖτ' ἂν ἅπαντα καὶ ἀναλύοιτο εἰς στιγμάς, καὶ ἡ στιγμὴ μέρος σώματος, εἴπερ τὸ μὲν σῶμα ἐξ ἐπιπέδων, τὸ δ' ἐπίπεδον ἐκ γραμμῶν, αἱ δὲ γραμμαὶ ἐκ στιγμῶν. εἰ δ' ἐξ ὧν πρώτων ἐνυπαρχόντων ἕκαστά ἐστι, στοιχεῖά ἐστι ταῦτα, αἱ στιγμαὶ ἂν εἴησαν στοιχεῖα σωμάτων. ὥστε συνώνυμα στοιχεῖα, οὐδ' ἕτερα τῷ εἴδει. φανερὸν οὖν ἐκ τῶν εἰρημένων ὅτι οὐκ ἔστι γραμμὴ ἐκ στιγμῶν. ἀλλ' οὐδ' ἀφαιρεθῆναι οἷόν τε στιγμὴν ἀπὸ γραμμῆς. εἰ γὰρ ἐνδέχεται ἀφαιρεθῆναι, καὶ προστεθῆναι δυνατόν· προστεθέντος δέ τινος τὸ ᾧ προσετέθη μεῖζον ἔσται τοῦ ἐξ ἀρχῆς, ἐὰν τοιοῦτον ᾖ τὸ προστιθέμενον ὥστε ἓν ὅλον ποιεῖν. ἔσται ⟨ἄρα⟩ γραμμὴ γραμμῆς στιγμῇ μείζων. τοῦτο δ' ἀδύνατον. ἀλλὰ καθ' ἑαυτὴν μὲν οὐχ οἷόν τε, κατὰ συμβεβηκὸς δ' ἐνδέχεται στιγμὴν ἀπὸ γραμμῆς ἀφελεῖν, τῷ ἐνυπάρχειν ἐν τῇ ἀφαιρουμένῃ γραμμῇ. εἰ ⟨γὰρ⟩ τοῦ ὅλου ἀφαιρουμένου καὶ ἡ ἀρχὴ καὶ τὸ πέρας ἀφαιρεῖται,

dum puto (cf. proll.): ἔτι, εἰ ἄτοπον στιγμὴν ἐπὶ στιγμῆς εἶναι ἢ γραμμὴν καὶ ἐπὶ στιγμῆς, ἐπὶ δὲ γραμμῆς ἐπίπεδον κ. τ. λ. cf. Simplic. in Phys. 596, 21 sq. Diels ‖ 1 τμηθήσονται γραμμή Z^a ut videtur ‖ 3 γραμμαί $N W^a$ ‖ 4 τοῦτο δ'] τοῦτ' L, τοῦτο Z^a ‖ διαιρεῖται Z^a ‖ ἀναλύοιντο Z^a ‖ 5 γραμμὴ μέρος Z^a ‖ τὸ μὲν om. Z^a ‖ 6 ἐξ ἐπιπέδων] ἐπίπεδον $L N P W^a Z^a$ ‖ δ' post τὸ om. Z^a ‖ αἱ — 7 στιγμῶν om. $L N P W^a Z^a$ ‖ 7 πρῶτον Z^a ut videtur ‖ 8 ἐστι post ἕκαστα om. Z^a ‖ ἐστι ταῦτα] ἔσται ταῦτα $N W^a Z^a$ ‖ ἦσαν $N W^a$, recte fort. ‖ 9 συνώνυμος L ‖ post στοιχεῖα add. δὲ W^a ‖ οὐδ' ἕτερα W^a: οὐδέτερα ceteri. Locus sic fort. constituendus: ὥστε συνώνυμα ⟨τὰ στοιχεῖα· εἰ δὲ συνώνυμα τὰ⟩ στοιχεῖα, οὐδ' ἕτερα τῷ εἴδει ‖ 11 οἴονται P, οἷόν τε ἐστὶ $N W^a$ ‖ στιγμὴν ἐκ στιγμῆς Z^a ‖ 12 φανερωθῆναι $L P Z^a$ ‖ 13 τὸ ᾧ προσετέθη scripsi: τὸ προστεθήτω L, τὸ προστεθὲν ceteri ‖ 15 ἄρα add. Hayduck ‖ στιγμή $L N$ ‖ 16 αὑτὴν P ‖ οἷ N omissis in lacuna όν τε ‖ 17 στιγμὴν om. Z^a ‖ 18 ἀφωρισμένῃ Z^a ‖ γὰρ add. Hayduck

γραμμῆς δ' ἦν ἡ ἀρχὴ καὶ τὸ πέρας στιγμή, καὶ εἰ γραμμῆς ⟨γραμμὴν⟩ ἐγχωρεῖ ἀφαιρεῖν, καὶ στιγμὴν ⟨ἂν⟩ ἐνδέχοιτο. αὕτη δ' ἡ ἀφαίρεσις κατὰ συμβεβηκός. εἰ δὲ τὸ πέρας ἅπτεται οὗ τὸ πέρας ἢ αὐτοῦ ἢ τῶν ἐκείνου τινός, ἡ δὲ στιγμή, ἣ πέρας γραμμῆς, ἅπτεται, ἡ μὲν οὖν ⟨γραμμὴ⟩ γραμμῆς ἔσται στιγμῇ μείζων, ἡ δὲ στιγμὴ ἐκ στιγμῶν· τῶν γὰρ ἁπτομένων οὐδὲν ἀνὰ μέσον. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῆς τομῆς, εἰ ἡ τομὴ στιγμῆς καὶ ἡ τομὴ ἅπτεταί τινος, καὶ ἐπὶ στερεοῦ καὶ ἐπιπέδου· ὡσαύτως δὲ καὶ τὸ στερεὸν ἐξ ἐπιπέδων καὶ ⟨τὸ ἐπίπεδον⟩ ἐκ γραμμῶν. οὐκ ἀληθὲς δὲ κατὰ στιγμῆς εἰπεῖν, οὐδ' ὅτι τὸ ἐλάχιστον τῶν ἐν γραμμῇ· εἰ γὰρ τὸ ἐλάχιστον τῶν ἐνυπαρχόντων εἴρηται, τὸ
2b δὲ ἐλάχιστον, ὧν ἐστὶν ἐλάχιστον, καὶ ἔλαττόν ἐστιν, ἐν δὲ τῇ γραμμῇ οὐδὲν ἄλλο ἢ στιγμαὶ καὶ γραμμαὶ ἐνυπάρχουσιν, ἡ δὲ γραμμὴ τῆς στιγμῆς οὐκ ἔστι μείζων (οὐδὲ γὰρ αὖ τὸ ἐπίπεδον τῆς γραμμῆς), ὥστ' οὐκ ἔσται στιγμὴ τὸ ἐν γραμμῇ

1 δ' ἦν ἡ] δεινὴ Z^a, δ' εἶν W^a δ' ἦν N ‖ στιγμὴν codd. ‖ καὶ εἰ N: καὶ ceteri ‖ γραμμὴν add. Hayduck ‖ 2 ἐγχωρεῖ] ἐνδέχοιτο $N W^a$ ‖ ἂν add. Hayduck ‖ 3 αὐτὴν. εἰ δ' ἀφαίρεσις $N W^a$ ‖ 4 οὗ τὸ scripsi cf. proll.: οὔτε codd. ‖ ἡ] ἣ N ‖ 5 ἣ — 6 στιγμὴ om. W^a ‖ ἡ μὲν οὖν γραμμὴ γραμμῆς ἔσται στιγμῇ scripsi: ἡ μὲν οὖν γραμμὴ ἔσται στιγμῆς N, ἣ μὲν οὖν γραμμῆς ἔσται στιγμή ceteri ‖ $^{\text{στιγ}}_{\text{γραμ}}$μῆς Z^a ‖ 7 γὰρ om. $L P$ ‖ μέσον] κ N ‖ ὁ δ' $N W^a$: ὁ ceteri ‖ λέγει L ‖ καὶ] καὶ ὁ $L P$ ‖ 8 εἴη τὸ μὴ W^a ‖ στιγμὴ Z^a ‖ 9 καὶ ante ἐπὶ om. P ‖ τὸ ἐπίπεδον addidi cf. prolegg. ‖ ἐκ γραμμῶν Z^a, καὶ γραμμῶν vulgo ‖ 11 στιγμῆς Hayduck: στιγμὴν codd. ‖ ὅτι τὸ ἐλάχιστον τῶν ἐν γραμμῇ scripsi cf. proll.: ὅτι τῶν ἐλαχίστων τῶν ἐκ γραμμῆς Z^a, ὅτι ἐλάχιστον (ἐλαχίστη L, καὶ ἐλαχίστη P, καὶ ἐλάχιστον W^a) τῶν ἐκ γραμμῆς ceteri, ὅτι τὸ ἐλάχιστον ἐν γραμμῇ Hayduck ‖ 12 εἰ γὰρ scripsi cf. proll.: εἰς codd., εἰ Hayduck ‖ τὸ om. L ‖ δὲ] γὰρ Hayduck ‖ 13 ἐλάχιστόν ἐστι $L P Z^a$ ‖ 14 ἄλλω P ‖ στιγμαὶ] στιγμαὶ καὶ γραμμὴ $L N$, στιγμὴ καὶ γραμμὴ P, γραμμὴ καὶ στιγμὴ W^a, στιγμὴ Z^a ‖ γραμμὴ Z^a ‖ ἐνυπάρχουσαι W^a, ἐνυπάρχει Z^a ‖ 15 ἡ] εἰ Z^a ‖ αὖ om. $L P Z^a$ ‖ 16 ὡς $L P Z^a$ ‖ $^{\text{στιγμὴ}}_{\text{γραμμὴ}}$ Z^a

ἐλάχιστον. εἰ δὲ συμβλητὸν τῇ γραμμῇ ἡ στιγμή, τὸ δὲ ἐλάχιστον ἐν τρισὶ προσώποις, οὐκ ἔσται ἡ στιγμὴ τῶν ἐν τῇ γραμμῇ ἐλάχιστον. καὶ ἄλλ' ἄττα ἐνυπάρχει παρὰ τὰς στιγμὰς καὶ τὰς γραμμὰς ἐν τῷ μήκει· οὐ γὰρ ἐκ στιγμῶν. εἰ δὲ τὸ ἐν τόπῳ ὂν ἢ στιγμὴ ⟨ἢ⟩ μῆκος ἢ ἐπίπεδον ἢ στερεὸν ⟨ἢ⟩ ἐκ τούτων τι, ἐξ ὧν δ' ἐστὶν ἡ γραμμή, ἐκεῖνα ἐν τόπῳ (καὶ γὰρ ἡ γραμμή), καὶ μήτε σῶμα μήτ' ἐπίπεδον μήτε ἐκ τούτων τι ἐνυπάρχει τῇ γραμμῇ, οὐκ ἔσται οὐθὲν ὅλως παρὰ τὰς στιγμὰς καὶ τὰς γραμμὰς ἐν τῷ μήκει. ἔτι εἰ τοῦ ἐν τόπῳ ὄντος τὸ μεῖζον λεγόμενον μῆκος ἢ ἐπιφάνεια ⟨ἢ⟩ στερεόν, ἡ δὲ στιγμὴ ἐν τόπῳ, τὸ δ' ἐν τῷ μήκει ὑπάρχον παρὰ τὰς στιγμὰς καὶ τὰς γραμμὰς οὐθὲν τῶν προειρημένων, ὥστ' οὐκ ἔσται ἡ στιγμὴ τῶν ἐνυπαρχόντων ἐλάχιστον. ἔτι εἰ ὃ ἐλάχιστόν τι τῶν ἐν τῇ οἰκίᾳ, μήτε ⟨πρὸς τὴν οἰκίαν συμβάλλεται μήτε⟩ τῆς οἰκίας συμβαλλομένης πρὸς αὐτὸ λέγεται, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, οὐδὲ τὸ ἐν γραμμῇ ἐλάχιστον πρὸς γραμμὴν συγκρινόμενον ἔσται· ὥστε οὐχ ἁρμόσει τὸ ἐλάχιστον. ἔτι εἰ τὸ μὴ ὂν ἐν τῇ οἰκίᾳ μή ἐστι τῶν ἐν τῇ οἰκίᾳ ἐλάχιστον, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων

1 *ἡ δὲ . . . τῇ N* ‖ *εἰ δὲ* — 2 *ἐλάχιστον* om. Z^a ‖ *εἴ τε* Hayduck ‖ 2 *τοῖς τρισὶ* Z^a ‖ 3 *ἐλάχιστον* om. Z^a ‖ punctum post *ἐλάχιστον* del. Hayduck ‖ *ἄλλα ἅττα* Z^a ‖ *ἐνυπάρξει* Hayduck ‖ *περὶ* $N W^a Z^a$ ‖ 4 *τὰς* om. $N W^a Z^a$ ‖ *γραμμὰς* om. Z^a ‖ *μήκει*] *μίξει* Z^a ‖ 5 *ἢ στιγμὴ ἢ μῆκος* Hayduck: *ἡ στιγμὴ μῆκος* codd. ‖ 6 *στερεῶν* W^a ‖ *ἢ* add. Hayduck ‖ a *τούτων τι* in Z^a primo statim transitum est ad 8 *τούτων τι ἐνυπάρχει*, deinde correctus est error ‖ 7 *ἡ γὰρ* W^a ‖ *καὶ* ante *μήτε* om. Z^a ‖ 8 *τι ἐκ τούτων* $L P$ ‖ *ἔστιν* Hayduck ‖ 9 *περὶ* $N Z^a$ ‖ 10 *ἢ ἐπιφάνεια ἢ στερεὸν* Hayduck: *ἡ ἐπιφάνεια στερεόν* codd. ‖ 11 *τὸ*] *τῷ* $W^a Z^a$ ‖ 12 *περὶ* $N W^a Z^a$ ‖ *τὰς γραμμὰς*] *γραμμὰς* Z^a ‖ 13 *ἐστιν* Z^a ‖ 14 *εἰ* Z^a: *εἰς* ceteri ‖ *ἔτι εἰ ὃ ἐλάχιστον* om. W^a ‖ *πρὸς τὴν οἰκίαν συμβάλλεται μήτε* addidi cf. proll. ‖ *μήτε*] *μὴ* Hayduck ‖ 15 *συλλαβομένης* $N W^a$ ‖ 16 post *λέγεται* statim inserenda esse quae sequuntur v. 17 *ὥστε* — 19 *ἐλάχιστον* iniuria opinatur Hayduck cf. proll. ‖ *οὐδὲ τὸ ἐν*] *ἐνδέχεται P* ‖ 18 post *ἐλάχιστον* plene interpunxi ‖ *ἔτι εἰ* scripsi: *ἐπὶ P*, *ἐπεὶ* ceteri ‖ 19 *ἐστι τῶν*] *ἔσται* W^a, *δὲ τῶν* Z^a, *ἐστι τὸ* Hayduck

(ἐνδέχεται γὰρ στιγμὴν αὐτὴν καθ' αὐτὴν εἶναι), οὐκ ἔσται κατὰ ταύτης ἀληθὲς εἰπεῖν ὅτι τὸ ἐν γραμμῇ ἐλάχιστον. ἔτι δ' οὐκ ἔστιν ἡ στιγμὴ ἄρθρον ἀδιαίρετον. τὸ μὲν γὰρ ἄρθρον ἀεὶ δυοῖν ὅρος, ἡ δὲ στιγμὴ καὶ μιᾶς γραμμῆς ὅρος ἐστίν. ἔτι ἡ μὲν πέρας, τὸ δὲ διαίρεσίς ἐστι μᾶλλον. ἔτι ἡ γραμμὴ καὶ τὸ ἐπίπεδον ἄρθρα ἔσονται· ἀνάλογον γὰρ ἔχουσιν. ἔτι τὸ ἄρθρον διὰ φοράν πως ἐστίν, διὸ καὶ Ἐμπεδοκλῆς ἐποίησε 'διὸ δεῖ ὀρθῶς'· ἡ δὲ στιγμὴ καὶ τὸ ἐν τοῖς ἀκινήτοις. ἔτι οὐδεὶς ἔχει ἄπειρα ἄρθρα ἐν τῷ σώματι ἢ τῇ χειρί, στιγμὰς δ' ἀπείρους. ἔτι λίθου ἄρθρον οὐκ ἔστιν, οὐδ' ἔχει, στιγμὰς δὲ ἔχει.

1 *γὰρ*] *δὲ* *N W*ᵃ *Z*ᵃ || *στιγμὴν αὐτὴν*] *γραμμὴν αὐτὴν Z*ᵃ, *αὐτὴν γραμμὴν LP* || 2 *ταύτης W*ᵃ *Z*ᵃ: *ταύτην* ceteri || *τὸ* om. *Z*ᵃ || post *ἐλάχιστον* punctum posuit Hayduck || *ἔτι δ'* scripsi praeeunte Hayduckio, qui *ἔτι* restituendum perspexit: *ὅτι δ'* *N W*ᵃ, *ὅτι* ceteri || 4 *ἀεὶ* om. *Z*ᵃ || *ὅροιν N W*ᵃ || *γραμμῆς μιᾶς Z*ᵃ || 5 *ἡ δὲ διαίρεσις μᾶλλον LPZ*ᵃ || *ἔτι*] *εἰ W*ᵃ || 6 *ἔσονται*] *εἰσιν W*ᵃ || 7 *ἔτι W*ᵃ: *ὅτι* ceteri || *διὰ φοράν πως* scripsi cf. proll.: *διαφορά πως N W*ᵃ, *διάφορόν πως* ceteri || 8 *δεῖ*] *δὴ Z*ᵃ Versum Empedocleum varie restituere studuerunt critici. cf. Karsten, Emped. carm. rel. v. 457 p. 154. Mihi hoc solum constat, in *ὀρθῶς* latere *ἄρθροις* || *τὸ* del. Hayduck || 9 *ἔτι δ' οὐδεὶς W*ᵃ || *στόματι* margo *L* || *ἢ ἐν τῇ W*ᵃ || 10 *ἀπείθους L* || 11 *οὐκ Z*ᵃ

ΑΝΕΜΩΝ

ΘΕΣΕΙΣ ΚΑΙ ΠΡΟΣΗΓΟΡΙΑΙ.

ΕΚ ΤΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΕΡΙ ΣΗΜΕΙΩΝ.

k. 3a *Βορρᾶς.* οὗτος ἐν μὲν Μαλλῷ Παγρεύς· πνεῖ γὰρ ἀπὸ κρημνῶν μεγάλων καὶ ὀρῶν διπλῶν παρ' ἄλληλα κειμένων, ἃ καλεῖται Παγρικά. ἐν δὲ Καύνῳ Μέσης. ἐν δὲ Ῥόδῳ Καυνίας· πνεῖ γὰρ ἀπὸ Καύνου, ἐνοχλῶν τὸν λιμένα αὐτῶν τῶν Καυνίων. ἐν δὲ Ὀλβίᾳ τῇ κατὰ Μάγυδον τῆς Παμφυλίας Ἰδυρεύς· πνεῖ γὰρ ἀπὸ νήσου ἣ καλεῖται Ἰδυρίς. τινὲς δὲ αὐτὸν βορρᾶν οἴονται εἶναι, ἐν οἷς καὶ Λυρνατιεῖς οἱ κατὰ Φασηλίδα. *Καικίας.* οὗτος ἐν μὲν Λέσβῳ καλεῖται Θηβάνας· πνεῖ γὰρ ἀπὸ Θήβης πεδίου τοῦ ὑπὲρ τὸν Ἐλαιτικὸν κόλπον τῆς Μυσίας, ἐνοχλεῖ δὲ τὸν Μιτυληναίων λιμένα, μάλιστα δὲ τὸν Μαλόεντα· παρὰ δέ τισι Καυνίας, ὃν ἄλλοι βορρᾶν οἴονται εἶναι.

Ἀπηλιώτης. οὗτος ἐν μὲν Τριπόλει τῆς Φοινίκης Ποταμεὺς καλεῖται, πνεῖ δὲ ἐκ πεδίου ὁμοίου ἅλωνι μεγάλῃ, περιεχομένου ὑπό τε τοῦ Λιβάνου καὶ τοῦ Βαπύρου ὄρους· παρὸ καὶ Ποταμεὺς καλεῖται. ἐνοχλεῖ δὲ τὸ Ποσειδώνειον. ἐν δὲ τῷ Ἰσσικῷ κόλπῳ καὶ περὶ Ῥωσὸν Συριάνδος· πνεῖ δὲ ἀπὸ τῶν Συρίων πυλῶν, ἃς διέστηκεν ὅ τε Ταῦρος καὶ τὰ Ῥώσια ὄρη. ἐν δὲ τῷ Τριπολιτικῷ κόλπῳ Μαρσεύς, ἀπὸ Μάρσου κώμης. ἐν δὲ Προκοννήσῳ καὶ ἐν Τέῳ καὶ ἐν Κρήτῃ καὶ Εὐβοίᾳ καὶ Κυρήνῃ Ἑλλησποντίας. μάλιστα δὲ ἐνοχλεῖ τόν

Cod. *K*ᵃ (Marc. app. IV, 58) ‖ 5 *τῶν Καυνίων* Rose: *τὸν ἀκανίαν K*ᵃ ‖ *μύγαλον K*ᵃ, corr. Rose ‖ 6 *Ἰδυρεύς* Meineke: *γαυρεύς K*ᵃ ‖ *γαυρίς K*ᵃ ‖ 7 *λυρναντεῖς K*ᵃ, corr. Rose ‖ 11 *τισι* Rose: *τοῖς K*ᵃ ‖ 12 *βορέαν K*ᵃ ‖ 16 *ποσειδόνιον K*ᵃ ‖ 17 fort. *Μυριανδεύς* Rose ‖ 18 *τὰ Ῥώσια* Rose: ταυρόσια Kᵃ ‖ 19 ὁ μαρσεύς Kᵃ

τε τῆς Εὐβοίας Καφηρέα καὶ τὸν Κυρηναίων λιμένα, καλούμενον δὲ Ἀπολλωνίαν· πνεῖ δὲ ἀφ' Ἑλλησπόντου. ἐν δὲ Σινώπῃ Βερεκυντίας ἀπὸ τῶν κατὰ Φρυγίαν τόπων πνέων. ἐν δὲ Σικελίᾳ Καταπορθμίας, πνέων ἀπὸ τοῦ πορθμοῦ. 97 *τινὲς δὲ αὐτὸν Καικίαν οἴονται εἶναι, Θηβάναν προσαγορεύοντες. Εὖρος. οὗτος ἐν μὲν Αἰγαῖς ταῖς κατὰ Συρίαν Σκοπελεὺς καλεῖται ἀπὸ τοῦ Ῥωσίου σκοπέλου, ἐν δὲ Κυρήνῃ Κάρβας ἀπὸ τῶν Καρβανῶν τῶν κατὰ Φοινίκην· διὸ καὶ τὸν αὐτὸν Φοινικίαν καλοῦσί τινες. εἰσὶ δὲ οἳ καὶ Ἀπηλιώτην νομίζουσιν εἶναι. Ὀρθόνοτος. τοῦτον οἱ μὲν Εὖρον, οἱ δὲ Ἀμνέα προσαγορεύουσιν. Νότος δὲ ὁμοίως παρὰ πᾶσι καλεῖται· τὸ δὲ ὄνομα διὰ τὸ νοσώδη εἶναι, ἔξω δὲ κάτομβρον, κατ' ἀμφότερα δὲ νότον. Λευκόνοτος ὁμοίως· τὸ δὲ ὄνομα ἀπὸ τοῦ συμβαίνοντος· λευκαίνεται γὰρ . . . Λίψ. καὶ οὗτος τὸ ὄνομα ἀπὸ Λιβύης, ὅθεν πνεῖ. Ζέφυρος. καὶ οὗτος τόδε τὸ ὄνομα διὰ τὸ ἀφ' ἑσπέρας πνεῖν. ἡ δὲ ἑσπέρα . . . Ἰάπυξ. οὗτος ἐν Τάραντι Σκυλλητῖνος ἀπὸ χωρίου Σκυλλητίου. κατὰ δὲ Δορύλαιον τὸ Φρυγίας . . . ὑπὸ δέ τινων Φαραγγίτης· πνεῖ γὰρ ἔκ τινος φάραγγος τῶν κατὰ τὸ Παγγαῖον. παρὰ πολλοῖς δὲ Ἀργέστης. Θρακίας κατὰ μὲν Θρᾴκην Στρυμονίας (πνεῖ γὰρ ἀπὸ τοῦ Στρυμόνος ποταμοῦ), κατὰ δὲ τὴν Μεγαρικὴν Σκίρρων ἀπὸ τῶν Σκιρρωνίδων πετρῶν, ἐν δὲ Ἰταλίᾳ καὶ Σικελίᾳ Κιρκίας διὰ τὸ πνεῖν ἀπὸ τοῦ Κιρκαίου. ἐν δὲ Εὐβοίᾳ καὶ Λέσβῳ Ὀλυμπίας, τὸ δὲ ὄνομα ἀπὸ τοῦ Πιερικοῦ Ὀλύμπου· ὀχλεῖ δὲ Πυρραίους. ὑπογέγραφα δέ σοι καὶ τὰς θέσεις αὐτῶν, ὡς κεῖνται καὶ πνέουσιν, ὑπογράψας τὸν τῆς γῆς κύκλον, ἵνα καὶ πρὸ ὀφθαλμῶν σοι τεθῶσιν.*

1 *καιφαρέα* K^a ‖ 3 *βερεκυπτίας* K^a ‖ 8 *φοινίκων* K^a ‖ 10 *Ὀρθρόνοτος* Rose ‖ 17 *σκυλητῖνος* K^a, corr. Rose ‖ 18 *σκυλαντίμου* K^a, corr. Rose ‖ *οραλεοντο* K^a, corr. Rose ‖ 23 *Κιρκίας* Rose: *Κίρκας* K^a ‖ 24 *ὀλαμπίας.* K^a

ΠΕΡΙ ΜΕΛΙΣΣΟΥ,
ΠΕΡΙ ΞΕΝΟΦΑΝΟΥΣ,
ΠΕΡΙ ΓΟΡΓΙΟΥ.

ΠΕΡΙ ΜΕΛΙΣΣΟΥ.

c. 1 *Ἀΐδιον εἶναί φησιν εἴ τί ἐστιν, εἴπερ μὴ ἐνδέχεσθαι γενέσθαι μηδὲν ἐκ μηδενός. εἴτε γὰρ ἅπαντα γέγονεν εἴτε μὴ πάντα, ἀΐδια ἀμφοτέρως. ἐξ οὐδενὸς γὰρ γενέσθαι ἂν αὐτῶν γινόμενα. ἁπάντων τε γὰρ γινομένων οὐδὲν προϋπάρχειν· εἴτ' ὄντων τινῶν ἀεὶ ἕτερα προσγίνοιτο, πλέον ἂν καὶ μεῖζον τὸ ὂν γεγονέναι. ᾧ δὴ πλέον καὶ μεῖζον, τοῦτο γενέσθαι ἂν ἐξ οὐδενός· ⟨ἐν⟩ τῷ γὰρ ἐλάττονι τὸ πλέον, οὐδ'*

Codices R^a (Vaticanus 1302), Lps. (Lipsiensis). cf. Prolegg.
Tit. *ΠΕΡΙ — ΓΟΡΓΙΟΥ* dedi cum Spaldingio, Brandisio, Mullachio al.: om. Lps., de R^a Kaibel (Diels, Doxogr. gr. p. 109 adn. 2) haec refert: 'm[1] (dieselbe, welche den Codex schrieb): *Ἀριστοτέλους· περὶ ξενοφάνους· περὶ ζήνωνος· περὶ γοργίου*, m[2] suchte erst in das Wort *Ἀριστοτέλους* die Verbesserung *Θεοφράστου* hineinzubringen; als das nicht deutlich schien, strich sie *Ἀριστοτέλους* aus und schrieb darüber *Θεοφράστου*, den übrigen Theil der Überschrift unangetastet lassend.' 1 *ΠΕΡΙ ΜΕΛΙΣΣΟΥ* Spalding: *περὶ Ζήνωνος* Lps. R^a, *περὶ Ξενοφάνους* vulgo ‖ 2 *ἐνδέχεσθαι* Lps.: *ἐνδέχεται* ceteri ‖ 4 *ἀΐδια ἀμφοτέρως* Lps.: *δι' ἀμφοτέρων* R^a vulgo, *ἀδύνατον ἀμφοτέρως* Bonitz Aristot. Stud. I p. 65 ‖ *ἐξ οὐδενὸς — 5 γινόμενα* Lps.: *ἐξ οὐδενὸς γὰρ αὐτῶν ἂν γινόμενα* ceteri, *ἐξ οὐδενὸς γὰρ ἂν γενέσθαι ἀμφοτέρως* (vel *οὕτως*) *τὰ γενόμενα* Bonitz l. l. Fort. *ἐξ — ἂν αὐτὰ ἀνάγκην εἶναι* cf. proll. ‖ 6 *εἴτ' ὄντων* Lps.: *εἰ τὸν τῶν* R^a ‖ 7 *ὂν* Brandis Comment. Eleat. p. 187: *ἲν* Lps., *ἓν* ceteri, vulgo ‖ *ᾧ*] *εἰ* Lps. ‖ *δὴ*] *δὲ* Susemihl per litteras ‖ 8 *ἐν* add. Chr. Dan. Beck Variet. lect lib. Aristot. e codice Lips. enotata ‖ *ἔλαττον* R^a ‖ *οὐδ'* Lps. (non *καὶ οὐδ'*, ut falso referunt Brandis et Mullach; recte iam Beck l. l. notavit, perperam ab Oleario virgulae post *πλέον* positae signum pro *καὶ* acceptum esse): *οἶδ'* R^a, *ἢ δ'* vulgo, *οὔτ'* proponebat Bergk De *Aristotelis* libello de Xen. Zen. G. p. 10, *ἢ* Mullach

ἐν τῷ μικροτέρῳ τὸ μεῖζον οὐχ ὑπάρχειν. ἀΐδιον δὲ ὂν ἄπειρον εἶναι, ὅτι οὐκ ἔχει ἀρχὴν ὅθεν ἐγένετο, οὐδὲ τελευτὴν εἰς ὃ γινόμενον ἐτελεύτησέ ποτε (πᾶν γάρ)· ἄπειρον δ' ὂν ἓν εἶναι. εἰ γὰρ πλέω ἢ δύο εἴη, περαίνειν ἂν ταῦτα πρὸς ἄλληλα. ἓν δὲ ὂν ὅμοιον εἶναι πάντῃ· εἰ γὰρ ἀνόμοιον, πλείω ὄντα, οὐκ ἂν ἔτι ἓν εἶναι, ἀλλὰ πολλά. ἀΐδιον δὲ ὂν ἄπειρόν τε καὶ ὅμοιον πάντῃ, ἀκίνητον εἶναι τὸ ἕν. οὐ γὰρ ἂν κινηθῆναι μὴ ἔς τι ὑποχωρῆσαν. ὑποχωρῆσαι δὲ ἀνάγκην εἶναι ἤτοι εἰς πλῆρες ἰὸν ἢ εἰς κενόν. τούτων δὲ τὸ μὲν οὐκ ἂν δέξασθαι τὸ πλῆρες, τὸ δὲ οὐκ εἶναι οὐδὲν [ἢ] τὸ κενόν. τοιοῦτο δὲ ὂν τὸ ἓν ἀνώδυνόν τε καὶ ἀνάλγητον, ὑγιές τε καὶ ἄνοσον εἶναι, οὔτε μετακοσμούμενον θέσει, οὔτε ἑτεροιούμενον εἴδει, οὔτε μιγνύμενον ἄλλῳ. κατὰ

3 δ] ἦν Sylburg ‖ ἐτελεύτησέ] ἐτελεύτησέν Lps. ut videtur (unde fort. scr. ἐτελεύτησ' ἂν cf. Melissi frgm. § 7 ἐτελεύτησεν ἄν ποτε γιγνόμενον), ἂν ἐτελεύτησε Mullach, τελευτήσει Bergk l. l. ‖ πᾶν — 4 εἶναι scripsi cf. Fleckeiseni annal. 1886 p. 736 sq.: πᾶν γὰρ ἄπειρον, ὂν (non ὂν ἕν, ut falso rettulit Mullach) εἶναι Lps., πᾶν δὲ καὶ ἄπειρον ὂν εἶναι ceteri, πᾶν γὰρ ἄπειρον ἓν εἶναι Aldina, vulgo, πᾶν δὲ ἄπειρον ἓν εἶναι Mullach, πάντῃ δὲ ἄπειρον ὂν ἓν εἶναι Bergk, πᾶν δὲ καὶ ἄπειρον ὂν ἓν εἶναι Kern Symbolae crit. ad lib. Arist. περὶ Ξ. Ζ. Γ. p. 3, ἀΐδιον δὲ καὶ ἄπειρον ὂν ἓν εἶναι Bonitz ‖ 4 πλέω Lps.: πλέον ceteri ‖ δύο ἢ πλέω Susemihl per litteras ‖ περαίνειν ἂν scripsi cf. prolegg.: πέραιαν εἶναι R^a, περ. λίαν εἶναι Lps., περαιὰν εἶναι vel περ ἐὰν εἶναι ceteri, περατὰ εἶναι Aldina, πέρατ' ἂν εἶναι alii edd. ‖ 5 ἓν — πάντῃ Lps.: ἓν δὲ ὃ μόνον εἶναι πάντα ceteri ‖ εἰ Aldina: ἡ Lps., ἢ ceteri ‖ ἀνόμοιον Lps.: ἀνόμοια ceteri ‖ 6 ἓν εἶναι Sylburg: εἶναι Lps., ἓν θεῖναι R^a vulgo ‖ 7 ἄπειρον Bergk: ἄμετρον codd., nisi quod dubium Lps. ἄμετρον an εὔμετρον voluerit, μέτριον vulgo. Ante ἄπειρον Bonitz inseri vult καὶ ‖ 8 ἂν κινηθῆναι Lps.: ἂν κινηθῇ ceteri ‖ εἴς τι Lps.: ἐστὶν cet., ἔτι vulgo ‖ 9 ἰὸν Bekker: ὂν codd. ‖ εἰς κενόν Lps.: κενόν ceteri ‖ 11 ἢ del. G. Fülleborn Liber de X. Z. G. passim illustr. p. 23. Fort. etiam τὸ κενόν delendum ‖ τοιοῦτο — 12 ἄνοσον εἶναι Lps.: τοιοῦτον δὲ ὄντων ἀνωδύνων τε καὶ ἀναλγήτων ὑπεστ καὶ ἄνοθον εἶναι R^a nec multum discrepant ceteri. cf. Arist. de coelo 284ª 14 sq.

πάντα γὰρ ταῦτα πολλά τε τὸ ἓν γίνεσθαι καὶ τὸ μὴ ὂν τεκνοῦσθαι καὶ τὸ ὂν φθείρεσθαι ἀναγκάζεσθαι. ταῦτα δὲ ἀδύνατα εἶναι. καὶ γὰρ εἰ τὸ μεμῖχθαί τι ἓν ἐκ πλειόνων λέγοιτο, καὶ εἴη πολλά τε καὶ κινούμενα εἰς ἄλληλα τὰ πράγματα, καὶ ἡ μῖξις ἢ ὡς ἐν ἑνὶ σύνθεσις εἴη τῶν πλειόνων, ἢ τῇ ἐπαλλάξει οἷον ἐπιπρόσθησις γίνοιτο τῶν μιχθέντων, ἐκείνως μὲν ἂν διάδηλα χωρὶς ὄντα εἶναι τὰ μιχθέντα, ἐπιπροσθήσεως δ' οὔσης ἐν τῇ τρίψει γίνεσθαι ἂν ἕκαστον 4b *φανερόν, ἀφαιρουμένων τῶν πρώτων τῶν ὑπ' ἄλληλα τεθέντων μιχθέντων· ὧν οὐδέτερον συμβαίνειν. διὰ τούτων δὲ τῶν τρόπων κἂν εἶναι πολλὰ κἂν ἡμῖν, οἷ' ἔστι, φαίνεσθαι μόνως. ὥστ' ἐπειδὴ οὐχ οἷόν θ' οὕτως, οὐδὲ πολλὰ δυνατὸν εἶναι τὰ ὄντα, ἀλλὰ ταῦτα δοκεῖν οὐκ ὀρθῶς. πολλὰ γὰρ καὶ ἄλλα κατὰ τὴν αἴσθησιν φαντάζεσθαι ἅπασαν. λόγον δ' οὔτ' ἂν ἐκεῖνο αἱρεῖν, τὰ ὄντα γίγνεσθαι, οὔτε πολλὰ εἶναι τὸ*

1 *ἓν* Lps.: *εἰ* R^a ‖ 3 *τῷ μεμῖχθαί τι ἓν ἐκ πλειόνων γένοιτο* (vel *γίνοιτο*) Bonitz ‖ 4 *πολλά τε καὶ κινούμενα* Lps.: *πολλὰ κινούμενα* ceteri ‖ 5 *ἢ ὡς* Ch. D. Beck l. l.: *ἡ ὡς* codd. ‖ 6 *ἐπαλλάξει* Mullach: *ἀπαλλάξει* codd. ‖ *οἷον* Lps.: *ονον* R^a ‖ *ἐπιπρόσθησις* Bekker: *ἐπιπροσθέσεις* R^a, in Lps. *ἐπιπρόσθεσις* an *ἐπιπρόσθησις* exaratum extet non certo diiudicari potest; cf. infra l. 8 ‖ *γίγνοιντο* R^a ‖ 7 *ἐκείνως* vel *ἐκείνους* Lps., nam extremae litterae paene evanidae sunt: *ἐκείνους* ceteri ‖ *διάδηλα χωρὶς ὄντα εἶναι* Kern (cf. 980b 10): *διάδηλα χωρίζοντα εἶναι* Lps., *δι' ἀλλήλων χωριζόντων εἶναι* ceteri, vulgo, *δι' ἀλλήλων χωρούντων εἶναι* Didotiana, Bonitz ‖ *ἐπιπροσθήσεως* Lps.: *ἐπιπροσθέσεως* ceteri ‖ 9 *τῶν πρώτων* — 10 *μιχθέντων* scripsi cf. l. l. p. 740 sq.: *τῶν πρώτων τὰ ὑπ' ἄλληλα* (*ὑπάλληλα* Lps.) *τεθέντα τῶν μιχθέντων* codd., pro *ὑπ'* recte fort. Bonitz scribendum censet *ἐπ'* ‖ 10 *διὰ τούτων δὲ τῶν τρόπων* Lps.: *διὰ τοῦτον δὲ τὸν τρόπον* ceteri. cf. l. l. p. 743 ‖ 11 *οἷ' ἔστι* scripsi cf. l. l.: *ὥ. ετι* (sed *ετι* compendio scriptum variam explicationem admittente) Lps.; *ὡς τὸ* ceteri, *οὐκέτι* Kern ‖ *μόνως*] fort. scribendum *μόνων* ‖ 13 *ταῦτα* Lps.: *ταύτὰ* R^a ‖ 14 *ἅπασαν*] *ἀπατᾷ* Lps. an *ἅπασιν*? ‖ *λόγον* — 15 *γίγνεσθαι* sic constitui locum in plerisque secutus Bonitzium haec proponentem: *ἀλλὰ τὸν λόγον οὔτ' ἐκεῖνο αἱρεῖν, τὰ ὄντα γίνεσθαι: λόγον δ' οὔται κειναιρεῖ τὰ αὐτὰ γίνεσθαι* R^a, *λόγον δ' οὔτε ἀναιρεῖν τὰ αὐτὰ γίγνεσθαι* Lps.

ὄν, ἀλλὰ ἓν ἀΐδιόν τε καὶ ἄπειρον καὶ πάντῃ ὅμοιον αὐτὸ αὑτῷ.

Ἆρ' οὖν δεῖ πρῶτον μὲν μὴ πᾶσαν λαβόντα δόξαν ἄρχεσθαι, ἀλλ' αἳ μάλιστα εἰσὶ βέβαιοι. ὥστ' εἰ μὲν ἅπαντα τὰ δοκοῦντα μὴ ὀρθῶς ὑπολαμβάνεται, οὐθὲν ἴσως προσήκει οὐδὲ τούτῳ προσχρῆσθαι τῷ δόγματι, ⟨ὅτι⟩ οὐκ ἄν ποτε οὐδὲν γένοιτο ἐκ μηδενός. μία γάρ τίς ἐστι δόξα καὶ αὕτη τῶν οὐκ ὀρθῶν, ἣν ἐκ τοῦ αἰσθάνεσθαί πως ἐπὶ πολλῶν πάντες ὑπειλήφαμεν. εἰ δὲ μὴ ἅπαντα ἡμῖν ψευδῆ τὰ φαινόμενα, ἀλλὰ τινές εἰσι καὶ τούτων ὀρθαὶ ὑπολήψεις, ἢ ἐπιδείξαντα τοιαύτην, ποία, ἢ τὰς μάλιστα δοκούσας ὀρθάς, ταύτας ληπτέον· ἃς ἀεὶ βεβαιοτέρας εἶναι δεῖ ἢ αἳ μέλλουσιν ἐξ ἐκείνων τῶν λόγων δειχθήσεσθαι. εἰ γὰρ καὶ εἶεν δύο δόξαι ὑπεναντίαι ἀλλήλαις, ὥσπερ οἴεται (εἰ μὲν γὰρ πολλά, γενέσθαι φησὶν ἀνάγκην εἶναι ἐκ μὴ ὄντων· εἰ δὲ τοῦτο μὴ οἷόν τε, οὐκ εἶναι τὰ ὄντα πολλά· ἀγένητον γὰρ ὄν, ὅ τι ἔστιν, ἄπειρον εἶναι. εἰ δ' οὕτως, καὶ ἕν), ὁμοίως μὲν δὴ ἡμῖν ὁ⟨μολογουμένων⟩ ἀμφοτέρων π⟨ροτάσεων⟩ οὐδὲν

1 *ἀλλὰ ἓν ἀΐδιον* Lps.: *ἀλλ' ἀΐδιον* ceteri ‖ 2 *αὑτῷ*] *αὐτῷ* Lps. ‖ 4 *αἳ μάλιστά εἰσι βέβαιοι* Lps: *ἀεὶ μάλιστα ὂν βέβαιον* ceteri ‖ 5 *οὐθὲν*] *ὅθεν* Lps. ‖ 6 *ὅτι* add. Spalding Vindic. phil. Megar. p. 27 sq. ‖ 8 *πάντες* Lps.: *ὄντες* ceteri ‖ 9 *μὴ ἅπαντα* scripsi (cf. paullo supra l. 4): *μὴ ἢ πάντα* Lps., *μὴν πάντα* R^a ‖ *ἡμῖν ψευδῆ τὰ φαινόμενα*] *ψευδῆ τὰ ἡμῖν φαινόμενα* Spalding l. l. ‖ 11 *τοιαύτη* Lps., sed addito rubro puncto supra *η* ab alia ut videtur manu ‖ *ποία, ἢ τὰς* Lps.: *ποιότητας* ceteri ‖ 13 dubium *ἢ γὰρ* an *εἰ γὰρ* dederit Lps. ‖ 14 *εἰ μὲν γὰρ* scripsi et haec verba usque ad 17 *καὶ ἕν* in parenthesi posui cf. l. l. p. 744 sq.: *εἰ μὴ* codd. ‖ post *πολλά* distinxi ‖ 15 *ἀνάγκην* Mullach: *ἀνάγκη* codd. ‖ 16 *πολλά* — 17 *εἶναι* scripsi: *πολλὰ γένη. τὸ γὰρ ὄν, ὅ τι* (vel *ὅτι*) *ἐστὶν, ἄπειρον εἶναι* Lps., *πολλά. γένοιτο γὰρ ἂν ὄν, ὅτι ἔστιν ἄπειρον εἶναι* ceteri, vulgo. cf. quae exposui l. l. ‖ 18 *δεῖ* Lps. ‖ *ὁμολογουμένων — οὐδὲν* scripsi: *ὁ . . . . ἀμφοτέρων π . . . . . . οὐδὲν* (lacunae tot fere litterarum capaces, quot puncta posui) Lps. consentientibus codd. Bekkeri, qui tamen lacunarum amplitudinem non significavit. Vide quae exposui l. l. p. 744 sq. et cf. Arist.

μᾶλλον ὅτι ἕν, ἢ ὅτι πολλὰ δείκνυται· εἰ δὲ βέβαιος μᾶλλον ἡ ἑτέρα, ἀπὸ ταύτης ξυμπερανθέντα μᾶλλον δέδεικται. τυγχάνομεν δὲ ἔχοντες ἀμφοτέρας τὰς ὑπολήψεις ταύτας, καὶ ὡς ἂν οὐ γένοιτ' ἂν οὐδὲν ἐκ μηδενός, καὶ ὡς πολλά τε καὶ κινούμενά μέν ἐστι τὰ ὄντα, ἀμφοῖν δὲ πιστὴ μᾶλλον αὕτη, καὶ θᾶττον ἂν πρόοιντο πάντες ταύτης ἐκείνην τὴν δόξαν. ὥστ' εἰ καὶ συμβαίνοι ἐναντίας εἶναι τὰς φάσεις, καὶ ἀδύνατον γίνεσθαί τε ἐκ μὴ ὄντος καὶ μὴ πολλὰ εἶναι τὰ πράγματα, ἐλέγχοιτο μὲν ἂν ὑπ' ἀλλήλων ταῦτα. ἀλλὰ τί μᾶλλον οὕτως ἂν ἔχοι; ἴσως τε κἂν φαίη τις τούτοις τἀναντία. οὔτε γὰρ δείξας ὅτι ὀρθὴ δόξα ἀφ' ἧς ἄρχεται, οὔτε μᾶλλον βέβαιον ἢ περὶ ἧς δείκνυσι λαβών, διελέχθη. μᾶλλον γὰρ ὑπολαμβάνεται εἰκὸς εἶναι γίνεσθαι ἐκ μὴ ὄντος ἢ μὴ πολλὰ εἶναι. λέγεταί τε καὶ σφόδρα ὑπὲρ αὐτῶν γίγνεσθαί τε τὰ μὴ ὄντα, καὶ [μὴ] γεγονέναι πολλὰ ἐκ μὴ ὄντων, καὶ οὐχ ὅτι οἱ τυγχάνοντες, ἀλλὰ καὶ τῶν δοξάντων τινὲς εἶναι σοφῶν εἰρήκασιν. αὐτίκα δὴ Ἡσίοδος 'πάντων μὲν πρῶτον',

Anal. post. p. 62b 32 sq. λαμβάνουσι μὲν οὖν ἀμφότεραι δύο προτάσεις ὁμολογουμένας ‖ 1 μᾶλλον ὅτι Spalding, Bonitz: μᾶλλόν τι codd. ‖ 2 τυγχάνομεν Mullach: τυγχανόμενα codd. ‖ 3 ἔχοντες Lps.: ἔχοντος ceteri ‖ dubium ἀμφοτέρας an ἀμφοτέρων exaratum sit in Lps. ‖ καὶ ὡς — 4 πολλά τε om. Bekkeri codd., in Lps., qui solus servavit, haec verba sic scripta extant: καὶ ὡς ἂν οὐ γένοιταν (post γένοι una littera erasa) οὐδὲν ἐκ μηδενός ὄντος πολλά τε. Pro γένοιταν Olearius restituit γένοιτ' ἂν (γένοιτό ποτ' ἂν Kern), pro ὄντος corr. καὶ ὡς Mullach ‖ 5 μὲν del. Bonitz ‖ 6 πρόοιντο Lps.: προεῖντο ceteri, πρόσοιντο Mullach praeeunte Spaldingio ‖ ταύτης ἐκείνην Bonitz: ταύτην ἐκείνης codd. ‖ 7 συμβαίνοι ἐναντίας Spalding: συμβαίνει ἐναντίας Lps., συμβαίνοιεν ἄν τις vel συμβαίνειεν ἄν τις ceteri ‖ 8 τε Bekkeri codd.: τι Lps., sed ita scriptum, ut etiam τις vel τινα legi possit. cf. l. 14 et Kern l. l. p. 9 ‖ μὴ post καὶ delebat Spalding, bene tuetur Kern ‖ 9 μεντἂν Kern ‖ 13 ὑπολαμβάνεται Lps.: λαμβάνεται ceteri ‖ εἰ μὴ Lps. ‖ 15 μὴ expunxit Spalding: tueri studet Kern, (δὴ vel μὴν Bonitz) ‖ 16 τινὲς εἶναι σοφῶν Lps.: εἶναι σοφῶν τινες ceteri ‖ 17 δὴ Lps.: δ' ceteri, delebat Bernays Abhandl. d. Berl. Akad. 1882 p. 14 Anm. 3 ‖ πάντων μὲν πρῶτον (vel πρῶτα) Lps.:

φησί, ‘χάος ἐγένετο, αὐτὰρ ἔπειτα γαῖ᾽ εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεί, ἠδ᾽ Ἔρος, ὃς πάντεσσι μεταπρέπει ἀθανάτοισιν’. τὰ δ᾽ ἄλλα φησὶ γενέσθαι ⟨ἐκ τούτων⟩, ταῦτα δ᾽ ἐξ οὐδενός. πολλοὶ δὲ καὶ ἕτεροι εἶναι μὲν οὐδέν φασι, γίγνεσθαι δὲ πάντα, λέγοντες οὐκ ἐξ ὄντων γίγνεσθαι τὰ γιγνόμενα. οὐδὲ γὰρ ἂν ἔτι αὐτοῖς ἅπαντα γίγνοιτο. ὥστε τοῦτο μὲν δῆλον, ὅτι ἐνίοις γε δοκεῖ καὶ ἐξ οὐκ ὄντων ἂν γενέσθαι.

2 *Ἀλλ᾽ ἆρα εἰ μὲν δυνατά ἐστιν ἢ ἀδύνατα ἃ λέγει, ἐατέον; τὸ δὲ πότερον συμπεραίνεται αὐτὰ ἐξ ὧν λαμβάνει, ἢ οὐδὲν κωλύει καὶ ἄλλως ἔχειν, ἱκανὸν σκέψασθαι· ἕτερον γὰρ ἄν τι τοῦτ᾽ ἴσως ἐκείνου εἴη. καὶ πρῶτον τεθέντος, ὃ πρῶτον λαμβάνει, μηδὲν γενέσθαι ἂν ἐκ μὴ ὄντος, ἆρα ἀνάγκη ἀγένητα ἅπαντα εἶναι, ἢ οὐδὲν κωλύει γεγονέναι ἕτερα ἐξ ἑτέρων, καὶ τοῦτο εἰς ἄπειρον ἰέναι; ἢ καὶ ἀνακάμπτειν κύκλῳ, ὥστε τὸ ἕτερον ἐκ τοῦ ἑτέρου γεγονέναι, ἀεί τε οὕτως ὄντος τινός, καὶ ἀπειράκις ἑκάστου γεγενημένου ἐξ ἀλλήλων; ὥστε οὐδὲν ἂν κωλύοι τὸ ἅπαντα γεγονέναι, κειμένου τοῦ μηδὲν γενέσθαι ἂν ἐκ μὴ ὄντος. καὶ ἄπειρα ὄντα πρὸς ἐκεῖνον προσαγορεῦσαι οὐδὲν κωλύει τῶν τῷ ἑνὶ ἑπομένων ὀνομάτων. τὸ ἅπαντα γὰρ εἶναι καὶ λέγεσθαι καὶ*

πρῶτον μὲν πάντων ceteri. Hes. Theog. v. 116 sqq. ‖ 1 *γένετ᾽* Mullach ‖ *γαῖα* Lps. ‖ 2 *αἰείδερος* R^a ‖ 3 *γιγνέσθαι* Lps. ‖ *ἐκ τούτων* add. Bernays, Bonitz. cf. p. 171, 14 ‖ 5 *οὐκ ἐξ ὄντων* Lps.: *ἐξ οὐκ ὄντων* ceteri. cf. Ind. Arist. p. 539ᵃ 14 sqq. ‖ 6 *οὐδὲ γὰρ — γίγνοιτο* solus praebet Lps. Perperam Mullach tanquam supervacaneum additamentum om. ‖ 7 *ἐνίοις γε* Sylburg (Felicianus ‘nonnullis’) *ἐν οἷς γε* codd. ‖ 9 *ἆρα* Bonitz Arist. Stud. I 73: *ἄρα* codd. ‖ *ἐατέον*] *λεκτέον* Lps. ‖ 10 *αὐτὰ* Lps.: *αὐτὸ* ceteri ‖ 11 *ἱκανὸν* Bonitz: *ἱκανῶς* codd. ‖ 13 *ἀνάγκη* in Lps. supra scriptum ‖ 14 *ἀγέννητα* R^a ‖ *ἅπαντα* Lps.: *πάντα* ceteri ‖ 15 *ἀνακάμπτειν* Lps.: *ἀνακάμπτει* ceteri ‖ 18 *κωλύοι τὸ* Spalding: *κωλύοιτο* codd. praeter unum, qui habet *κωλύει τὸ* ‖ *κειμένου* Lps.: *κινουμένου* ceteri ‖ 19 post *ἄπειρα* Spalding inseri iubet *τὰ* ‖ 20 *τῶν τῷ* Lps.: *τῶν ἐν τῷ* ceteri ‖ 21 *τὸ ἅπαντα* Spalding: *τὸ ἅπαν* Lps., *τὰ ἅπαντα* duo Bekkeri, *ἅπαντα* R^a vulgo

ἐκεῖνος τῷ ἀπείρῳ προσάπτει. οὐδέν τε κωλύει, καὶ μὴ ἀπείρων ὄντων, κύκλῳ αὐτῶν εἶναι τὴν γένεσιν. ἔτι εἰ ἅπαντα γίγνεται, ἔστι δὲ οὐδέν, ὥς τινες λέγουσιν, πῶς ἂν ἀΐδια εἴη; ἀλλὰ γὰρ τοῦ μὲν εἶναί τι ὡς ὄντος καὶ κειμένου διαλέγεται. εἰ γάρ, φησί, μὴ ἐγένετο, ἔστι δέ, ἀΐδιον ἂν εἴη, ὡς δέον ὑπάρχειν τὸ εἶναι τοῖς πράγμασιν. ἔτι εἰ καὶ ὅτι μάλιστα μήτε τὸ μὴ ὂν ἐνδέχεται γενέσθαι μήτε ἀπολέσθαι τὸ [μὴ] ὄν, ὅμως τί κωλύει τὰ μὲν γενόμενα αὐτῶν εἶναι, τὰ δ' ἀΐδια, ὡς καὶ Ἐμπεδοκλῆς λέγει; ἅπαντα γὰρ κἀκεῖνος ταῦτα ὁμολογήσας, ὅτι ʽἔκ τε τοῦ μὴ ὄντος ἀμήχανόν ἐστι γενέσθαι, τό τε ὂν ἐξόλλυσθαι ἀνήνυστον καὶ ἄπρηκτον, ἀεὶ γὰρ θήσεσθαι ὅπῃ κέ τις αἰὲν ἐρείδῃʼ, ὅμως τῶν ὄντων τὰ μὲν ἀΐδιά φησιν εἶναι, πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα, τὰ δ' ἄλλα γίνεσθαί τε καὶ γεγονέναι ἐκ τούτων. οὐδεμία γὰρ ἑτέρα, ὡς οἴεται, γένεσίς ἐστι τοῖς οὖσιν, ʽἀλλὰ μόνον μῖξίς τε διάλλαξίς τε μιγέντων ἐστί· φύσις δ' ἐπὶ τοῖς ὀνομάζεται ἀνθρώποισινʼ. τὴν δὲ γένεσιν οὐ πρὸς οὐσίαν τοῖς ἀϊδίοις καὶ τῷ ὄντι γίγνεσθαι λέγει, ἐπεὶ τοῦτό γε ἀδύνατον ᾤετο. πῶς γὰρ ⟨ἂν⟩, φησί, καὶ ʽἐπαυξήσειε τὸ πᾶν

1 προσάπτειν Lps. ‖ 3 γίγνεται unus Bekkeri: γίγνεσθαι ceteri ‖ ἂν Spalding: ἓν codd. ‖ 4 εἶναί τι Lps.: εἶναι ἕν τι ceteri, εἶναι Spalding ‖ 5 ἔστι Spalding: ἔστω codd. ‖ ἀΐδιον ἂν εἴη Spalding: ἀΐδιον εἴη Lps., ἀΐδια νεικ R^a, ἀΐδια ceteri ‖ 8 μὴ del. Spalding ‖ 9 Emped. 102—104 Mullach ‖ 10 ταυτὰ R^a ‖ τε τοῦ scripsi: τε R^a, τοῦ Lps. ‖ 12 θήσεσθαι codd., corruptum: θεύσεσθαι Bergk, φησὶν ἔσεσθαι Spalding, τῇ γ' ἔσται Panzerbieter Beiträge zur Kritik u. Erklärung des Empedocles p. 15, περιέσεσθαι Mullach ‖ ἐρείδῃ Lps.: ἐρεῖ δὲ R^a ‖ 13 φησιν εἶναι Lps.: εἶναί φησι ceteri ‖ 15 Emped. 100. 101 Mull. ‖ 16 μῖξίς τε καὶ Lps. ‖ ἐστὶ ÷ (sic!) Lps. ‖ 17 οὐ πρὸς οὐσίαν Fülleborn l. l. p. 26: εἰ πρὸς οὐσίαν Lps., προσιοῦσαν ceteri, οὐ προσοῦσαν Mullach ‖ 18 τῷ ὄντι Lps.: τῷ ὅτι ceteri ‖ ἐπὶ R^a ‖ 19 ᾤετο. πῶς γὰρ Lps.: ὥστε τὸ πῶς γ' ἂν ceteri. cf. Emped. 94 Mull. ‖ ἂν add. Spalding ‖ φησί Spalding: φήσει codd. ‖ ἐπαυξήσειε – p. 172, 1 ἐλθόν Spalding: ἐπαυξησείετο παντὶ καὶ πόθεν ἐλθὼν Lps., ἔπαρξις ἵετο, παντί τε καὶ ποθὲν ἐλθόν ceteri, ἐπαυξήσειε τὸ πᾶν τί καὶ πόθεν ἐλθόν Bergk

τι τε καὶ ποθὲν ἐλθόν’; ἀλλὰ μισγομένων τε καὶ συντιθεμένων πυρὸς καὶ τῶν μετὰ πυρὸς γίγνεσθαι τὰ πολλά, διαλλαττομένων τε καὶ διακρινομένων φθείρεσθαι πάλιν, καὶ εἶναι τῇ μὲν μίξει πολλά ποτε καὶ τῇ διακρίσει, τῇ δὲ φύσει τέτταρ’ ἄνευ τῶν αἰτίων, ἢ ἕν. ἢ εἰ καὶ ἄπειρα εὐθὺς ταῦτα εἴη, ἐξ ὧν συντιθεμένων γίγνεται, διακρινομένων δὲ φθείρεται, ὡς καὶ τὸν Ἀναξαγόραν φασί τινες λέγειν, ἐξ ἀεὶ ὄντων καὶ ἀπείρων τὰ γιγνόμενα γίγνεσθαι, κἂν οὕτως οὐκ ἂν εἴη ἀΐδια πάντα, ἀλλὰ καὶ γιγνόμενα ἄττα καὶ γενόμενά τ’ ἐξ ὄντων καὶ φθειρόμενα εἰς οὐσίας τινὰς ἄλλας. ἔτι οὐδὲν κωλύει μίαν τινὰ οὖσαν τὸ πᾶν μορφήν, ὡς καὶ ὁ Ἀναξίμανδρος καὶ ὁ Ἀναξιμένης λέγουσιν, ὁ μὲν ὕδωρ εἶναι φάμενος τὸ πᾶν, ὁ δέ, ὁ Ἀναξιμένης, ἀέρα, καὶ ὅσοι ἄλλοι οὕτως εἶναι τὸ πᾶν ἓν ἠξιώκασι, τοῦτο ἤδη σχήμασί τε καὶ πλήθεσι καὶ ὀλιγότητι, καὶ τῷ μανὸν ἢ πυκνὸν γίγνεσθαι, πολλὰ καὶ ἄπειρα ὄντα τε καὶ γιγνόμενα ἀπεργάζεσθαι τὸ ὅλον. φησὶ δὲ καὶ ὁ Δημόκριτος τὸ ὕδωρ τε καὶ τὸν ἀέρα ἕκαστόν τε τῶν πολλῶν, ταὐτὸ ὄν, ῥυσμῷ διαφέρειν. τί δὴ κωλύει καὶ οὕτως τὰ πολλὰ γίγνεσθαί τε καὶ ἀπόλλυσθαι, ἐξ ὄντος ἀεὶ εἰς ὂν μεταβάλλοντος ταῖς εἰρημέναις διαφοραῖς τοῦ ἑνός, καὶ οὐδὲν οὔτε πλέονος οὔτε ἐλάττονος γιγνομένου τοῦ ὅλου; ἔτι τί κωλύει ποτὲ μὲν ἐξ

1 σμιγομένων Lps. ‖ τε καὶ συντιθ. etiam Lps., quod moneo propter Beckium ‖ 2 διαλλομένων Lps. ‖ 3 πάλιν Lps.: πλήν ceteri ‖ 4 ποτε Lps.: τε ceteri ‖ 5 τέτταρα Lps. ‖ ἢ ἓν del. Kern fort. recte ‖ ἢ εἰ] εἴη Lps. ‖ 6 ταῦτα εἴη Lps.: εἴη ταῦτα ceteri ‖ 9 καὶ γενόμενά τ’ delebat Bergk ‖ 11 οὖσαν Lps.: οὐσίαν ceteri ‖ μορφὴν codd. (cf. Euripid. apud Diod. Sicul. I 7 ὡς οὐρανός τε γαῖά τ’ ἦν μορφὴ μία): ἀρχὴν Bonitz ‖ 14 post ἠξιώκασι virgula distinxit primus totiusque sententiae recte explanandae viam ingressus est Spalding, ad finem persecutus est Bergk. Ante Spaldingium puncto distinguebatur ‖ 16 ἀπεργάζεσθαι Spalding: ἀπεργάζεται codd. ‖ 18 ταὐτὸ Sylburg: τοῦτο codd., etiam Lps., quod moneo propter Mullachium ‖ ῥυσμῷ Sylburg: ῥυθμῷ codd. ‖ 19 δὴ] δεῖ Lps. ‖ κωλύειν Lps. Ra ‖ 22 ποτὲ] πολλὰ Lps. ‖ ἐξ ἄλλων ne cum Kernio credas mutan-

ἄλλων τὰ σώματα γίγνεσθαι καὶ διαλύεσθαι εἰς σώματα, οὕτως δ' ᾗ ἀναλυόμενα, κατ' ἴσα γίγνεσθαί τε καὶ ἀπόλλυσθαι πάλιν; Εἰ δὲ καὶ ταῦτά τις συγχωροίη, καὶ εἴη τι καὶ ἀγένητον εἴη, τί μᾶλλον ἄπειρον δείκνυται; ἄπειρον γὰρ εἶναί φησιν, εἰ ἔστι μέν, μὴ γέγονε δέ. πέρατα γὰρ εἶναι τὴν τῆς γενέσεως ἀρχήν τε καὶ τελευτήν. καίτοι τί κωλύει ἀγένητον ὂν ἔχειν πέρας ἐκ τῶν εἰρημένων; εἰ γὰρ ἐγένετο, ἔχειν ἀρχὴν ἀξιοῖ ταύτην ὅθεν ἤρξατο γιγνόμενον. τί δὴ κωλύει, καὶ εἰ μὴ ἐγένετο, ἔχειν ἀρχήν; οὐ μέντοι γε ἐξ ἧς [γε] ἐγένετο, ἀλλὰ καὶ ἑτέραν, καὶ εἶναι περαίνοντα πρὸς ἄλληλα, ἀΐδια ὄντα; ἔτι τί κωλύει τὸ μὲν ὅλον ἀγένητον ὂν ἄπειρον εἶναι, τὰ δ' ἐν αὐτῷ γιγνόμενα πεπεράνθαι, ἔχοντ' ἀρχὴν καὶ τελευτὴν γενέσεως; ἔτι καὶ ὡς ὁ Παρμενίδης φησί, τί κωλύει καὶ τὸ πᾶν ἓν ὂν καὶ ἀγένητον ὅμως πεπεράνθαι, καὶ εἶναι 'πάντοθεν εὐκύκλου σφαίρας ἐναλίγκιον ὄγκῳ, μεσσόθεν ἰσοπαλὲς πάντῃ· τὸ γὰρ οὔτε τι μεῖζον οὔτε τι βαιότερον πελέμεν χρεών ἐστι τῇ ἢ τῇ'. ἔχον δὲ μέσον καὶ ἔσχατα, πέρας ἔχει ἀγένητον ὄν. ⟨ἔτι ὂν⟩

dum esse in *ἐξ ἀλλήλων* cf. Arist. Phys. 188^a 28. 30 ‖ 1 verba *γίγνεσθαι καὶ* — 2 *ἴσα* servavit solus Lps., ubi sic scripta extant: *γίγνεσθαι καὶ διαλύεσθαι εἰς σώματα, οὕτως δὴ ἀναλυόμενα, καὶ ἶσα.* Pro *δή* correxi *δ' ᾗ* (cf. Arist. Phys. 217^b 23 *οὕτω δ' ᾗ τοιαύτη κ. τ. λ.*), pro *καὶ ἶσα* Kern scripsit *κατ' ἴσα.* cf. Fleckeis. ann. l. l. p. 749 et prolegg. ‖ 4 *ἀγένητον εἴη* R^a (ad repetitum *εἴη* cf. p. 180, 3): *ἀγέννητον εἴη;* (sic, cum signo interrogationis) Lps. ‖ *τί μᾶλλον* Lps : *τι μᾶλλον* R^a ‖ 5 *γέγονε δέ* Sylburg: *γεγονέναι* codd. ‖ 7 *ἀγέννητον* Lps. ‖ 8 *ἔχειν ἀρχὴν* Lps.: *ἀρχὴν ἔχειν* ceteri ‖ *ὅθεν ἤρξατο γιγνόμενον* Bergk: *ὅθεν ἤρξατο γιγνόμενα* Lps., *ὅθεν γίγνοιτο εἰ γιγνόμενα* ceteri ‖ 10 prius *γε* del. Bergk, alterum Mullach ‖ prius *καὶ* del. Bergk ‖ 12 *ἀγέννητον* codd. ‖ 13 *ἔχοντα* Lps. ‖ 14 Parmenid. v. 103—105 Mull. ‖ *ἀγέννητον* Lps. ‖ 15 *εὐκύκλου* Lps.: *ἐγκύκλου* ceteri ‖ *ἐναλίγγιον* R^a ‖ *ὄγκον* Lps. ‖ *ἰσοπλευρὲς* R^a ‖ *γὰρ οὔτε* Lps.: *γὰρ ὅτε* R^a ‖ 17 *βαιότερον* Lps.: *βαιβεότερον* R^a ‖ *πελέμεν χρεών ἐστι τῇ ἢ τῇ* Spalding: *εἶναι μέχρι ὂν ἔστι τ . . . . . .* (lacuna sex fere litt. capax) Lps., *εἶναι μέχρι ὄν ἐστι τῇ ἢ τῇ* R^a ‖ 18 *ὄν. ἔτι ὂν ἄπειρον εἰ καὶ* scripsi cf. l. l. p. 752 sq.:

ἄπειρον εἰ καί, ὡς αὐτὸς λέγει, ἕν ἐστι, καὶ τοῦτο σῶμα, ἔχει ἄλλα ἑαυτοῦ μέρη, ἑαυτῷ δὲ ὅμοια πάντα (καὶ γὰρ ὅμοιον οὕτω λέγει τὸ πᾶν εἶναι οὐχὶ ὡς ἄλλ⟨οι ἑτέρῳ⟩ τινί, ὃ περανθὲν ἄν, ὁρᾷς, ἐλέγχει εἴ τι ὅμοιον τὸ ἄπειρον — τὸ γὰρ ὅμοιον ἑτέρῳ ὅμοιον, ὥστε δύο ἢ πλείω ὄντα οὐκ ἂν ἓν οὐδ' ἄπειρον εἶναι — ἀλλ' ἴσως τὸ ὅμοιον πρὸς αὐτὸ λέγει, καί φησιν αὐτὸ ὅμοιον εἶναι πᾶν, ὅτι ὁμοιομερές, ὕδωρ ὂν ἅπαν ἢ γῆ ἢ εἴ τι τοιοῦτον ἄλλο· δῆλος γὰρ οὕτως ἀξιῶν εἶναι ἕν), τῶν δὴ μερῶν ἕκαστον, σῶμα ὄν, οὐκ ἄπειρόν ἐστιν (τὸ γὰρ ὅλον ἄπειρον), ὥστε ταῦτα περαίνει πρὸς ἄλληλα, ἀγένητα ὄντα. Ἔτι εἰ ἀΐδιόν τε καὶ ἄπειρόν ἐστι, πῶς ἂν εἴη ἕν, σῶμα ὄν; εἰ μὲν γὰρ ἀνομοιομερὲς εἴη, πολλὰ καὶ αὐτὸς οὕτω γ' ἂν εἶναι ἀξιοῖ. εἰ

ὄν . . . . . . ποιεῖ. καὶ Lps., ὄν, ἐπεὶ εἰ καὶ ceteri nulla lacuna indicata, ὄν. ἔτι εἰ ὅμοιον καὶ Kern ‖ 2 ἑαυτῷ δὲ scripsi cf. l. l.: εἰ τάδε R^a τὰ δὲ Lps., καὶ τάδε Kern, καὶ ταῦτα Mullach ‖ 3 οὐχὶ ὡς ἄλλοι ἑτέρῳ τινί Ch. D. Beck: οὐχὶ ὡς ἀλλ . . . . . τινι Lps., οὐ . . . ἄλλῳ τινι ceteri (lacunae amplitudo a Bekkero non accurate notata videtur, Aldina spatium vacuum quindecim fere litterarum habet) ‖ ὃ περανθὲν ἄν, ὁρᾷς, ἐλέγχει, εἴ τι ὅμοιον τὸ ἄπειρον scripsi cf. l. l. 753 sqq. et Archiv für Geschichte der Philosophie I p. 247: ὃ περανθῆναι (περαθῆναι R^a) ὁρᾷς ἐλέγχει εἴ τι ὅμοιον τὸ ἄπειρον Bekkeri codd., ὅπερ ἀθηναγόρας ἐλέγχει ὅτι ὅμοιον τὸ ἄπειρον Lps., οὗ περανθῆναι ἂν ὅροις ἐλέγχει εἴ τινι ὅμοιον τὸ ἄπειρον Spalding, ᾧ περανθείη ἄν, ὅπερ Ἀναξαγόρας (hoc nomen latere in ἀθηναγόρας primus suspicatus est Ch. D. Beck) ἐλέγχει, ὅτι ἀνόμοιον τὸ ἄπειρον Bergk, ὅπερ καὶ Ἀναξαγόρας ἐλέγχει, ὅτι ὅμοιον τὸ ἄπειρον Mullach, ὅπερ καὶ Ἀναξαγόρας ἐλέγχει, ὅτι εἰ ὅμοιον τὸ ἄπειρον τό γε ὅμοιον ἑτέρῳ ὅμοιον Bonitz, ὃ περανθῆναι αὐτὸς ἐλέγχει, εἰ δέ τι ὅμοιον τὸ ἄπειρον, τό γε ὅμοιον ἑτέρῳ ὅμοιον Kern ‖ 5 γὰρ Spalding: γε codd. ‖ 6 οὐδὲ Lps. ‖ πρὸς αὐτὸ] πρὸς τὸ αὐτὸ Lps. cf. Bonitz p. 76 ‖ 8 ἡ γῆ Lps. ‖ ἢ εἴ τι R^a: ἢ τί Lps. ‖ 9 οὕτως Lps.: οὗτος ceteri ‖ δὴ μερῶν Lps.: διμερῶν ceteri. cf. quae exposui l. l. p. 756 adn. 24 ‖ 12 post ἓν lacunam R^a ‖ μὲν γὰρ] μὲν Lps. ‖ ἀνομοιομερὲς (vel ἀνομοιομερῶν, nam compendium in fine dubitationem facit) Lps.: ἀνομοίων ἀμερῶν ceteri, ἀνομοίων μερῶν Mullach ‖ 13 αὐτὸς οὕτω γ' ἂν εἶναι ἀξιοῖ scripsi: αὐτὸς γίνεσθαι ἀξιοῖ

δὲ ἅπαν ὕδωρ ἢ ἅπαν γῆ ἢ ὅ τι δὴ τὸ ὂν τοῦτ' ἐστί, πολλὰ ἂν ἔχοι μέρη, ὡς καὶ Ζήνων ἐπιχειρεῖ ὂν δεικνύναι τὸ οὕτως ὂν ἕν. εἴη οὖν ἂν καὶ πλείονα τὰ αὐτοῦ μέρη, ἐλάττω ὄντα, καὶ μικρότερα ἄλλα, ὥστε πάντῃ ἂν ταύτῃ ἄλλο ἢ ἓν εἴη οὐδενὸς προσγιγνομένου σώματος οὐδ' ἀπογιγνομένου. εἰ δὲ μήτε σῶμα μήτε πλάτος μήτε μῆκος ἔχοι μηδέν, πῶς ἂν ἄπειρον [ἂν] εἴη; τί κωλύει πολλὰ καὶ ἀνάριθμα τοιαῦτα εἶναι; τί κωλύει καὶ πλείω ὄντα ἑνὸς μεγέθει ἄπειρα εἶναι; ὡς καὶ Ξενοφάνης ἄπειρον τό τε βάθος τῆς γῆς καὶ τοῦ ἀέρος φησὶν εἶναι. δηλοῖ δὲ καὶ ὁ Ἐμπεδοκλῆς· ἐπιτιμᾷ γάρ, ὡς λεγόντων τινῶν τοιαῦτα, ἀδύνατον εἶναι, οὕτως ἐχόντων, ξυμβαίνειν αὐτά· 'εἴπερ ἀπείρονα γῆς τε βάθη καὶ δαψιλὸς αἰθήρ, ὡς διὰ πολλῶν δὴ βροτέων ῥηθέντα ματαίως ἐκκέχυται στομάτων, ὀλίγον τοῦ παντὸς ἰδόντων'. Ἔτι ἓν ὂν οὐδὲν ἄτοπον, εἰ μὴ πάντῃ ὅμοιόν ἐστιν. εἰ γάρ ἐστιν
6b ὕδωρ ἅπαν ἢ πῦρ ἢ ὅ τι δὴ ἄλλο τοιοῦτον, οὐδὲν κωλύει πλείω εἰπεῖν τοῦ ὄντος ἑνὸς εἴδη, ἰδίᾳ ἕκαστον ὅμοιον αὐτὸ ἑαυτῷ. καὶ γὰρ μανόν, τὸ δὲ πυκνὸν εἶναι, μὴ ὄντος ἐν τῷ

Lps, αὐτὸς οὕτω γ' εἶναι ἀξιοῖ ceteri ‖ 1 ἅπαν γῆ Lps.: ἅπασαν γῆν ceteri ‖ 2 τὸ οὕτως ὂν ἕν] τὸ ὄντως ἓν ὄν Spalding ‖ 3 πλείονα] fort. ἄπειρα cf. l. l. p. 758 ‖ τὰ αὐτοῦ Lps.: αὐτοῦ ceteri ‖ 4 ἐλάττω — ὥστε scripsi cf. l. l. p. 758: ἐλαττόνων τε καὶ μικροτέρων ἀλλ . . . . τε Lps., ἐλαττόνων τε καὶ μικροτέρων, ἀλλά τε ceteri ‖ ἄλλο ἢ ἓν scripsi l. l. p. 758: ἀλλοῖον codd. ‖ 5 οὐδέν Lps. ‖ 6 ἔχοι Lps.: ἔχον ceteri ‖ 7 ἂν del. Mullach ‖ πολλὰ καὶ ἀνάριθμα Tauchnitziana: πολλὰ καὶ ἐνάριθμα Bekkeri codd., καὶ ἓν ἀριθμῷ (sine πολλά) Lps. cf. l. l. p. 758 ‖ 8 μεγέθη R^a ‖ 9 ὁ Ξενοφάνης Lps. ‖ 10 ἐπιτιμᾷ — 12 αὐτά singula huius enuntiati membra primus recte distinxit Ch. D. Beck. Ceterum cf. Arist. Polit. 1285a 37 sqq. δηλοῖ δ' Ἀλκαῖος ὅτι τύραννον εἵλοντο τὸν Πιττακὸν ἔν τινι τῶν σκολιῶν μελῶν· ἐπιτιμᾷ γὰρ ὅτι κ. τ. λ. ‖ 11 ἀδύνατον Lps.: ἀδύνατα ceteri ‖ 12 ξυμβαίνει R^a ‖ εἴπερ κ. τ. λ. Emped. v. 237—239 Mull. ‖ 13 ὡς Lps.: ὅς ceteri ‖ 14 ὀλίγον Lps.: om. ceteri ‖ 15 ἓν ὂν Lps.: ὂν ἓν ceteri ‖ εἷς γὰρ R^a ‖ 17 εἴδη, ἰδίᾳ scripsi l. l. p. 760: εἰ δὴ δεῖ Lps., εἰ δὴ δι' ceteri ‖ 18 ἐν τῷ Lps.: τοῦ τῷ ceteri

μανῷ κενοῦ, οὐδὲν κωλύει· ἐν γὰρ τῷ μανῷ οὐκ ἔστιν ἔν τισι μέρεσι χωρὶς ἀποκεκριμένον τὸ κενόν, ὥστε τοῦ ὅλου, τὸ μὲν πυκνόν, ⟨τὸ δὲ κενὸν⟩ εἶναι (καὶ τοῦτ' ἤδη ἐστὶ μανὸν, τὸ πᾶν οὕτως ἔχον), ἀλλ' ὁμοίως ἅπαν πλῆρες ὄν, ὁμοίως ἧττον πλῆρές ἐστι τοῦ πυκνοῦ. εἰ δὲ καὶ ἔστιν, ἀγένητόν ἐστιν, καὶ διὰ τοῦτο ἄπειρον ἂν δοθείη εἶναι, καὶ μὴ ἐνδέχεσθαι ἄλλο καὶ ἄλλο ἄπειρον εἶναι. διὰ τοῦτο καὶ ἓν τοῦτο ἤδη προσαγορεύειν οὐκ ἀδύνατον· πῶς γάρ, ἂν τὸ ἄπειρον ὅλον ᾖ, τὸ κενὸν μὴ ὅλον ἂν οἷόν τε εἶναι; Ἀκίνητον δ' εἶναι φησίν, εἰ κενὸν μή ἐστιν· ἅπαντα γὰρ κινεῖσθαι τῷ ἀλλάττειν τόπον. πρῶτον μὲν οὖν τοῦτο πολλοῖς οὐ συνδοκεῖ, ἀλλ' εἶναί τι κενόν, οὐ μέντοι τοῦτό γέ τι σῶμα εἶναι, ἀλλ' οἷον καὶ ὁ Ἡσίοδος ἐν τῇ γενέσει πρῶτον τὸ χάος φησὶ γενέσθαι, ὡς δέον χώραν πρῶτον ὑπάρχειν τοῖς οὖσιν, τοιοῦτον δέ τι καὶ τὸ κενόν, οἷον ἀγγεῖόν τι

1 post *κενοῦ* primus pro puncto comma posuit totumque locum recte constituit Bonitz ‖ *κωλύει. ἐν γὰρ* Bonitz: *κωλύειν γὰρ* codd. ‖ *τῷ μανῷ*] *τὸ μανόν* Lps. ‖ 2 *ὥστε* Mullach: *ὡς τὸ* codd. ‖ 3 *τὸ δὲ κενὸν* add. Bonitz ‖ *πυκνὸν εἶναι* Lps.: *εἶναι πυκνόν* ceteri ‖ *τοῦτ' ἤδη* Lps.: *τουτὶ δὴ* R^a ‖ *ἐστὶ* scripsi et parenthesin indicavi: *ἔστι* Lps., *ἐστι* ceteri, *εἶναι* Bonitz ‖ 5 *ἔστιν* codd.: *ἔστι καὶ* Bonitz ‖ 6 *ἄπειρον ἂν δοθείη* scripsi: *ἄπειρον δοθείη* Lps., *δοθείη ἄπειρον* ceteri ‖ 7 *μὴ* Lps.: *μηδὲ* ceteri ‖ *διὰ τοῦτο καὶ ἓν τοῦτο* scripsi: *διὰ τοῦτο καὶ ἐν τοῦτο* R^a, *διὰ τί καὶ ἓν τοῦτο* Lps., *διὰ τοῦτο καὶ ἐν τούτῳ* ceteri ‖ 8 *προσαγορεύειν οὐκ ἀδύνατον* scripsi l. l. p. 761: *προσαγορευτέον καὶ ἀδύνατον* codd., *προσαγορευτέον καὶ ἀγένητον* Kern ‖ *πῶς γὰρ* — 9 *εἶναι* scripsi l. l. p. 761 sq.: *πῶς γὰρ ἂν τὸ ἄπειρον ὅσον ᾖ τὸ κενὸν μὴ ὅλον ἂν οἷόντε εἶναι;* Bekkeri codd., *πῶς γάρ ἤ τὸ ἄπειρον ὅσον ᾖ τὸ μὴ ὅλον ἂν οἴονται εἶναι* Lps. (pro *ὅσον* iam Spalding restituerat *ὅλον*, de toto tamen loco longe aliter sentiens quam ego; etiam Felicianus legisse videtur *ὅλον*), *πῶς γὰρ ἂν τὸ ἄπειρον οἷον ἢ τὸ ἓν ὂν ἢ τὸ ὅλον ὂν οἴονται εἶναι;* Bonitz, *πῶς γὰρ ἂν τὸ ἄπειρον, ὅσον ἐστὶ μὴ ὅλον, ἓν οἷόν τε εἶναι* Kern ‖ 10 *μή* Lps.: *μέν* ceteri ‖ 11 *πολλοῖς οὐ συνδοκεῖ* in Lps. ita scriptum, ut legi etiam possit *πολλοῖς οὖσιν δοκεῖ* ‖ 12 *καινόν* Lps. ‖ *τοῦτο*] *τό* R^a ‖ 14 *δέον* Lps.: *δέ* ceteri ‖ 15 *δέ*] an *δή*? ‖ *καινόν* Lps.

ἀνὰ μέσον εἶναι ζητοῦμεν. ἀλλὰ δὴ καὶ εἰ μή ἐστι κενὸν μηδέν, τί ἧσσον ἂν κινοῖτο; ἐπεὶ καὶ Ἀναξαγόρας τὸ πρὸς αὐτὸ πραγματευθείς, καίτοι μόνον ἀποχρῆσαν αὐτῷ ἀποφήνασθαι ὅτι οὐκ ἔστιν, ὅμως κινεῖσθαί φησι τὰ ὄντα, οὐκ ὄντος κενοῦ. ὁμοίως δὲ καὶ ὁ Ἐμπεδοκλῆς κινεῖσθαι μὲν ἀεί φησι συγκρινόμενα τὰ ὄντα πάντα ἐνδελεχῶς, κενὸν δὲ οὐδὲν εἶναι, λέγων ὡς 'τοῦ παντὸς δ' οὐδὲν κενεόν. πόθεν οὖν τί κ' ἐπέλθοι;' ὅταν δὲ εἰς μίαν μορφὴν συγκριθῇ, ὥσθ' ἓν εἶναι, οὐδέν, φησι, τό γε κενεὸν πέλει οὐδὲ περισσόν. τί γὰρ κωλύει εἰς ἄλληλα φέρεσθαι καὶ περιίστασθαι ἅμα ὁτουοῦν εἰς ἄλλο, καὶ τούτου εἰς ἕτερον, καὶ εἰς τὸ πρῶτον ἄλλου μεταβάλλοντος ἀεί; ἔτι καὶ τὴν ἐν τῷ αὐτῷ μένοντος τοῦ πράγματος τόπῳ τοῦ εἴδους μεταβολήν, ἣν ἀλλοίωσιν οἵ τ' ἄλλοι κἀκεῖνος λέγει, οὐδὲν ἐκ τῶν εἰρημένων αὐτῷ κωλύει κινεῖσθαι τὰ πράγματα, ὅταν ἐκ λευκοῦ μέλαν ἢ ἐκ πικροῦ γίγνηται γλυκύ. οὐδὲν γὰρ τὸ μὴ εἶναι κενὸν ἢ μὴ δέχεσθαι τὸ πλῆρες ἀλλοιοῦσθαι κωλύει. ὥστε οὔτε ἅπαντα ἀΐδια οὔθ' ἓν οὔτ' ἄπειρον ἀνάγκη εἶναι, ἀλλ' ἄπειρα πολλά.

1 *κενὸν μηδέν, τί ἧσσον* scripsi et post *κινοῖτο* interrogationis signum posui l. l. p. 762: *κενόν. μηδέν τι ἧσσον* Lps., *κενόν, μηδέ τι ἴσως* R^a ‖ 2 *τὸ πρὸς αὐτὸ* codd., nisi quod in Lps. dubium, an voluerit librarius *πρὸ* et *αὐτὸν* cf. l. l. p. 762 sq. ‖ 3 *καίτοι* scripsi l. l.: *καὶ οὐ* codd. ‖ *αὐτῷ*] *αὐτὸ* Lps., non clare tamen exaratum ‖ 6 *συγκρινόμενα* Lps.: *συγκοινόμενα* R^a, *συγκινούμενα* ceteri ‖ *τὰ ὄντα πάντα ἐνδελεχῶς· κενὸν δὲ οὐδὲν εἶναι* scripsi l. l. p. 763 sq.: *τὸν ἅπαντα ἐνδελεχῶς. χρόνον δὲ οὐδὲν εἶναι* Lps., *τὸν ἅπαντα ἐνδελεχῶς χρόνον, οὐδὲν εἶναι* ceteri ‖ 7 ad *ὡς* post *λέγειν* cf. Arist. de coelo 294a 25 et Diels Doxogr. gr. p. 841 s. v. *ὡς* ‖ *παντὸς δ' οὐδὲν κενεόν — 8 ἐπέλθοι* scripsi l. l.: *παντὸς δὲ οὐδὲν κεν . . . . πόθον οὐν τι κε πέλθοι* Lps., *παντός, οὐδὲ κενεόν. πόθεν οὖν τί κ' ἐπέλθοι;* ceteri ‖ 8 *ὥσθ' ἓν* Ch. D. Beck: *ὡσθὲν* Lps., *ὡς ἓν* ceteri ‖ 9 *φησι* Emped. v. 166 Mull. ‖ 11 *εἰ τὸ πρῶτον* Lps., *ἢ εἰς τὸ πρῶτον* Kern ‖ *ἄλλου*] *ἄλλου εἰς ἄλλο* Kern ‖ 12 *ἀεὶ ἔτι· καὶ* Lps. ‖ 14 *οὐδὲν* om. Lps. R^a ‖ 16 γίγνηται Lps.: γένηται ceteri ‖ *ἢ* in Lps. e correctione

οὔτε ἓν θ' ὅμοιον, οὔτ' ἀκίνητον, οὔτ' εἰ ἓν οὔτ' εἰ πόλλ' ἄττα. Τούτων δὲ κειμένων καὶ μετακοσμεῖσθαι καὶ ἑτεροιοῦσθαι τὰ ὄντα οὐδὲν ἂν κωλύοι ἐκ τῶν ὑπ' ἐκείνου εἰρημένων, 977 καὶ ἑνὸς ὄντος τοῦ παντὸς κινήσεως οὔσης, καὶ πλήθει καὶ ὀλιγότητι διαφέροντος, καὶ ἀλλοιουμένου οὐδενὸς προσγιγνομένου οὐδ' ἀπογιγνομένου σώματος, καὶ εἰ πολλὰ συμμισγομένων καὶ διακρινομένων ἀλλήλοις. τὴν γὰρ μῖξιν οὔτ' ἐπιπρόσθησιν τοιαύτην εἶναι οὔτε σύνθεσιν εἰκός, οἵαν λέγει, ὥστε ἢ χωρὶς εὐθὺς εἶναι, ἢ καὶ ἀποτριφθέντος ⟨τοῦ⟩ ἐπίπροσθεν ἕτερα ἑτέρως φαίνεσθαι χωρὶς ἀλλήλων ταῦτα, ἀλλ' οὕτω συγκεῖσθαι ταχθέντα ὥστε ὁτιοῦν τοῦ μιγνυμένου παρ' ὁτιοῦν ᾧ μίγνυται ⟨γίγνεσθαι⟩ μέρος, οὕτως ὡς μὴ καταληφθῆναι συγκείμενα, ἀλλὰ μεμιγμένα, μηδ' ὁποιαοῦν αὐτῷ μέρη. ἐπεὶ γὰρ οὐκ ἔστι σῶμα τί ἐλάχιστον, ἅπαν ἅπαντι μέρος μέμικται ὁμοίως καὶ τὸ ὅλον.

1 οὔτε ἓν θ' ὅμοιον] vitium inesse videtur ‖ 3 τὰ ὄντα add. Lps. ‖ οὐδὲν ἂν κωλύοι scripsi cf. p. 182, 6 οὐδένα κωλύει codd. ‖ ἐκείνου Lps.: ἐκείνῳ ceteri ‖ 6 οὐδ' ἀπογιγνομένου σώματος Kern: εἰ δ' ἄρα τινός, οὐ τοῦ σώματος codd. ‖ συμισγομένων Lps. ‖ 7 διακρινομένων Lps.: συνδιακρινομένων ceteri ‖ μίξιν Lps. ‖ 8 ἐπιπρόσθησιν Ch. D. Beck: ἐπὶ πρόσθησιν Lps., ἐπιπρόσθεσιν ceteri ‖ λέγει Sylburg: λέγειν codd. ‖ 9 ἀποτριφθέντος τοῦ scripsi l. l. p. 764 secutus Kernium ἀποτριβέντος τοῦ corrigentem: ἀποστρεφθέντος codd., ἀποστραφέντος vulgo ‖ 10 ἑτέρως Lps., sed non clare exaratum, nam potest etiam ἑτέρων legi: ἑταίρων R^a, ἑτέρων ceteri ‖ φαίνεσθαι Lps.: φέρεσθαι ceteri ‖ 11 οὕτως Lps. ‖ τοῦ add. Lps. ‖ 12 ὁτιοῦν ᾧ μίγνυται γίγνεσθαι μέρος scripsi: ὁτιοῦν ὁ μίγνυσθαι μέρος Lps., ὁτιοῦν ᾧ μίγνυσθαι μέρος ceteri, ὁτιοῦν γίγνεσθαι μέρος Kern ‖ καταληφθῆναι scripsi: ἀναληφθῆναι codd. possis etiam ἀναφανῆναι suspicari ‖ 13 μὴ δὲ ποια οὖν Lps. ‖ αὐτῷ μέρη] an ἐν αὐτῷ ἀμερῆ? ‖ 14 σῶμά τι ἐλάχιστον scripsi: σῶμα τὸ ἐλάχιστον codd., σώματα ἐλάχιστα Kern

ΠΕΡΙ ΞΕΝΟΦΑΝΟΥΣ.

Ἀδύνατόν φησιν εἶναι, εἴ τι ἔστι, γενέσθαι, τοῦτο λέγων ἐπὶ τοῦ θεοῦ. ἀνάγκη γὰρ ἤτοι ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου γενέσθαι τὸ γενόμενον. δυνατὸν δὲ οὐδέτερον. οὔτε γὰρ ὅμοιον ὑφ' ὁμοίου προσήκειν τεκνωθῆναι μᾶλλον ἢ τεκνῶσαι (ταὐτὰ γὰρ ἅπαντα τοῖς γε ἴσοις καὶ ὁμοίως ὑπάρχειν πρὸς ἄλληλα) οὔτ' ἂν ἐξ ἀνομοίου τὸ ἀνόμοιον γενέσθαι. εἰ γὰρ γίγνοιτο ἐξ ἀσθενεστέρου τὸ ἰσχυρότερον ἢ ἐξ ἐλάττονος τὸ μεῖζον ἢ ἐκ χείρονος τὸ κρεῖττον, ἢ τοὐναντίον τὰ χείρω ἐκ τῶν κρειττόνων, τὸ οὐκ ὂν ἐξ ὄντος ⟨ἢ τὸ ὂν ἐξ οὐκ ὄντος⟩ ἂν γενέσθαι· ὅπερ ἀδύνατον. ἀΐδιον μὲν οὖν διὰ ταῦτ' εἶναι τὸν θεόν. εἰ δ' ἔστιν ὁ θεὸς ἁπάντων κράτιστον, ἕνα φησὶν αὐτὸν προσήκειν εἶναι. εἰ γὰρ δύο ἢ ἔτι πλείους εἶεν, οὐκ ἂν ἔτι κράτιστον καὶ βέλτιστον αὐτὸν εἶναι πάντων. ἕκαστος γὰρ ὢν θεὸς τῶν πολλῶν ὁμοίως ἂν τοιοῦτος εἴη. τοῦτο γὰρ θεὸν καὶ θεοῦ δύναμιν εἶναι, κρατεῖν, ἀλλὰ μὴ κρατεῖσθαι, καὶ πάντων κράτιστον εἶναι. ὥστε καθὸ μὴ κρείττων, κατὰ τοσοῦτον οὐκ εἶναι θεόν. πλειόνων οὖν ὄντων, εἰ μὲν εἶεν τὰ μὲν ἀλλήλων κρείττους, τὰ δὲ ἥττους, οὐκ ἂν εἶναι θεούς· πεφυκέναι γὰρ τὸ θεῖον μὴ κρατεῖσθαι. ἴσων δὲ ὄντων, οὐκ ἂν ἔχειν

1 Tit. *περὶ Ξενοφάνους* R^a: *Ἀριστοτέλους περὶ Ξενοφάνους* Lps., *περὶ Ζήνωνος* vulgo ‖ 3 *ὁμοίου ἢ ἐξ ἀνομοίου* Lps.: *ὁμοίων ἢ ἐξ ἀνομοίων* (*ὁμοίων* R^a) ceteri ‖ 6 *ταὐτὰ* R^a: *ταῦτα* Lps., quod tuentur Bergk, Mullach, alii. At tu cf. Arist. de gener. et int. 323b 5 *πάντα γὰρ ὁμοίως ὑπάρχειν ταὐτὰ τοῖς ὁμοίοις*. Phys. 202b 14 *οὐ γὰρ ταὐτὰ πάντα ὑπάρχει τοῖς ὁπωσοῦν τοῖς αὐτοῖς* ‖ *καὶ ὁμοίως* Lps.: *ἢ ὁμοίοις* ceteri ‖ 7 *ἂν*] *αὖ?* ‖ *τἀνόμοιον* Lps., *οὔτ' ἀνόμοιον* ceteri ‖ 10 *τὸ οὐκ ὂν* — 11 *γενέσθαι* Bonitz: *τὸ οὐκ ὂν ἐξ ὄντος ἂν γενέσθαι* Lps., *τὸ οὐκ ἐξ ὄντος γενέσθαι* ceteri ‖ 12 *εἶναι* add. Lps. ‖ 14 *δύο* Lps.: *δή* R^a ‖ *ἔτι* om. Lps. ‖ 15 *αὐτῶν* Lps. ‖ *ὢν θεός* clare exaratum in Lps. (falso igitur referunt abesse *θεός*): *ἂν θεὸς* ceteri ‖ 16 *ὁμοίως ἂν* Lps.: *ὅμοιος ὢν* ceteri ‖ 17 *πάντων κράτιστον* Karsten: *πάντα κρατεῖσθαι* codd. ‖ 18 *κρείττων* Lps.: *κρεῖττον* ceteri ‖ 21 *τὸ θεῖον* Lps.: *θεὸν* ceteri ‖ *οὐκ ἂν* — p. 180, 2 *εἶναι* additis,

θεοῦ φύσιν ⟨οὐδένα· τὸν μὲν γὰρ θεὸν τὴν φύσιν⟩ δεῖν εἶναι κράτιστον· τὸ δὲ ἴσον οὔτε βέλτιον οὔτε χεῖρον εἶναι τοῦ ἴσου. ὥστ' εἴπερ εἴη τε καὶ τοιοῦτον εἴη θεός, ἕνα μόνον εἶναι τὸν θεόν. οὐδὲ γὰρ οὐδὲ πάντα δύνασθαι ἂν ἃ βούλοιτο. οὐ γὰρ ἂν δύνασθαι πλειόνων ὄντων· ἕνα ἄρα εἶναι μόνον. ἕνα δ' ὄντα ὅμοιον εἶναι πάντῃ, ὁρᾶν τε καὶ ἀκούειν, τάς τε ἄλλας αἰσθήσεις ἔχοντα πάντῃ. εἰ γὰρ μή, κρατεῖν ἂν καὶ κρατεῖσθαι ὑπ' ἀλλήλων τὰ μέρη θεοῦ ὄντα· ὅπερ ἀδύνατον. πάντῃ δ' ὅμοιον ὄντα σφαιροειδῆ εἶναι· οὐ γὰρ τῇ μέν, τῇ δ' οὐ τοιοῦτον εἶναι, ἀλλὰ πάντῃ. ἀΐδιον δ' ὄντα καὶ ἕνα καὶ σφαιροειδῆ οὔτ' ἄπειρον οὔτε πεπεράνθαι. ἄπειρον μὲν γὰρ τὸ μὴ ὂν εἶναι· τοῦτο γὰρ οὔτε μέσον οὔτ' ἀρχὴν καὶ τέλος οὔτ' ἄλλο μέρος οὐδὲν ἔχειν, τοιοῦτον δ' εἶναι τὸ ἄπειρον. οἷον δὲ τὸ μὴ ὄν, οὐκ ἂν εἶναι τὸ ὄν. περαίνειν δὲ πρὸς ἄλληλα, εἰ πλείω εἴη. τὸ δὲ ἓν οὔτε τῷ οὐκ ὄντι οὔτε τοῖς πολλοῖς ὡμοιῶσθαι· ἓν γὰρ οὐκ ἔχειν, πρὸς ὅ τι περανεῖ. τὸ δὴ τοιοῦτον ἕν, οἷον τὸν θεὸν εἶναι λέγει, οὔτε κινεῖσθαι οὔτε ἀκίνητον εἶναι. ἀκίνητον μὲν γὰρ εἶναι τὸ μὴ ὄν. οὔτε γὰρ ἂν εἰς αὐτὸ ἕτερον οὔτε ἐκεῖνο εἰς ἄλλο ἐλθεῖν. κινεῖσθαι δὲ τὰ πλείω ὄντα ἑνός. ἕτερον γὰρ εἰς ἕτερον δεῖν κινεῖσθαι. εἰς μὲν οὖν τὸ μὴ ὂν οὐδὲν

quae uncis inclusa sunt Bonitz: pro *θεοῦ* codd. praebent *θεόν*, pro *φύσιν* habet *φύσιμος* R^a, *οὐκ ἂν ἔχειν θεὸν φύσιν, ἣν δεῖ εἶναι* Brandis l. l. p. 32 ‖ 2 *χέριον* R^a ‖ 5 *οὐ γὰρ* — 6 *μόνον* Lps.: *οὐδὲ* (*οὐ* R^a) *γὰρ ἂν δύνασθαι πλειόνων ὄντων ἕνα εἶναι μόνον* ceteri, *οὐ γὰρ ἂν δύνασθαι* delendum censet Karsten ‖ 6 *εἶναι, πάντῃ ὁρᾶν* interpungit Brandis ‖ 11 *ὄντα*] *οὕτω* Lps. ‖ post *ἄπειρον* Brandis addi vult *εἶναι*, sed cf. p. 183, 2 ‖ *πεπεράσθαι* R^a ‖ 12 *ἄπειρον μὲν γὰρ τὸ* Bonitz: *ἄπειρον μὲν ὃ* Lps., *ἄπειρον ὃ* ceteri ‖ 13 *καὶ* in Lps. e correctione, fuit antea *οὔτε*, quod clare apparet ‖ 15 ante *περαίνειν* puncto distinxit Bonitz ‖ *εἴη* Lps.: *εἶεν* ceteri ‖ 16 *ὡμοιῶσθαι* Lps.: *ὁμοιῶσθαι* R^a ‖ *ἔχειν* Bonitz: *ἔχει* codd. ‖ 17 *περανθείη* Lps. ‖ *δὴ* Lps.: *δὲ* ceteri ‖ *τοιοῦτον ἕν, οἷον* Bonitz: *τοιοῦτον ἓν ὂν* Lps., *τοιοῦτον ὂν ἕν, ὃν* ceteri ‖ 18 *ἀκίνητον* Lps.: *κινητὸν* ceteri ‖ *ἀκίνητον* Lps.: *ἀνόνητον* ceteri ‖ 21 *εἰς μὲν*] *εἰ μὲν* R^a

ἂν κινηθῆναι· τὸ γὰρ μὴ ὂν οὐδαμῇ εἶναι. εἰ δὲ εἰς ἄλληλα μεταβάλλοι, πλείω ἂν τὸ ἓν εἶναι ἑνός. διὰ ταῦτα δὴ κινεῖσθαι μὲν ἂν τὰ δύο ἢ πλείω ἑνός, ἠρεμεῖν δὲ καὶ ἀκίνητον εἶναι τὸ οὐδέν. τὸ δὲ ἓν οὔτε ἀτρεμεῖν οὔτε κινεῖσθαι· οὔτε γὰρ τῷ μὴ ὄντι οὔτε τοῖς πολλοῖς ὅμοιον εἶναι. κατὰ πάντα δὲ οὕτως ἔχειν τὸν θεόν, ἀΐδιόν τε καὶ ἕνα, ὅμοιόν τε καὶ σφαιροειδῆ ὄντα, οὔτε ἄπειρον οὔτε πεπερασμένον, οὔτε ἠρεμεῖν οὔτ' αὖ κινητὸν εἶναι.

Πρῶτον μὲν οὖν λαμβάνει τὸ γιγνόμενον καὶ οὗτος ἐξ 4
ὄντος γίγνεσθαι, ὥσπερ ὁ Μέλισσος. καίτοι τί κωλύει μήτ' ἐξ ὁμοίου ⟨μήτ' ἐξ ἀνομοίου⟩ τὸ γιγνόμενον γίγνεσθαι, ἀλλ' ἐκ μὴ ὄντος; ἔτι οὐδὲν μᾶλλον ὁ θεὸς ἀγένητος ἢ καὶ τἆλλα πάντα, εἴπερ ἅπαντα ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου γέγονεν· ὅπερ ἀδύνατον. ὥστε ἢ οὐδέν ἐστι παρὰ τὸν θεόν, ἢ καὶ τἆλλα ἀΐδια πάντα. ἔτι κράτιστον τὸν θεὸν λαμβάνει, τοῦτο δυνατώτατον καὶ βέλτιστον λέγων. οὐ δοκεῖ δὲ τοῦτο κατὰ τὸν νόμον, ἀλλὰ πολλὰ κρείττους εἶναι ἀλλήλων οἱ θεοί. οὐκ οὖν ἐκ τοῦ δοκοῦντος εἴληφε ταύτην κατὰ τοῦ θεοῦ τὴν ὁμολογίαν. τό τε κράτιστον εἶναι τὸν θεὸν οὐχ οὕτως ὑπολαμβάνειν ἐνδέχεται ὡς πρὸς ἄλλο τι τοιαύτη ἡ τοῦ θεοῦ φύσις, ἀλλὰ πρὸς τὴν αὐτοῦ διάθεσιν, ἐπεί τοί γε πρὸς

1 οὐδαμοῦ scribendum videtur ‖ 2 ἂν τὸ ἓν (vel ὄν) Karsten: αὐτὸν codd., αὐτὸ Mullach ‖ 3 ἠρεμεῖν Lps. ‖ δὲ καὶ Lps.: γὰρ ceteri ‖ 4 ἀτρεμεῖν codd.: ἠρεμεῖν Karsten, Mullach ‖ 6 δὲ] δὴ Susemihl per litteras ‖ 6 ἔχοις R^a, an ἔχοντα? ‖ 8 ἠρεμεῖν Lps. ‖ οὔτ' αὖ κινητὸν scripsi: οὔτε ἀκίνητον codd., nisi quod ἀκίνητον in Lps. ita exaratum est, ut etiam εὐκίνητον esse possit, οὔτε κινητόν Fülleborn ‖ 9 τὸ γιγνόμενον καὶ οὗτος Lps.: καὶ οὗτος τὸ γιγνόμενον ceteri ‖ 10 γίγνεσθαι ἐξ ὄντος R^a ‖ 11 ὁμοίας R^a ‖ μήτ' ἐξ ἀνομοίου add. Brandis ‖ 12 ἀγέννητος R^a ‖ ἢ καὶ Lps.: εἰ καὶ ceteri ‖ 13 ἢ καὶ ἐξ ἀνομοίου Lps. ‖ 14 ὅπερ ἀδύνατον dubitat an delendum sit Kern Quaestionum Xenophanearum cap. duo p. 14 ‖ 18 κατὰ om. Lps. ‖ 19 ὑπολαμβάνειν ἐνδέχεται Vahlen (cf. Bonitz l. l. p. 83): ὑπολαμβάνων λέγεται codd. ‖ 20 ἄλλο τι Lps. ‖ τοιαύτη Lps.: τοῦ αὐτὴ R^a ‖ 21 τοί γε (nisi quod accentus deest) Lps.: τοῦ γὰρ R^a,

ἕτερον οὐδὲν ἂν κωλύοι μὴ τῇ αὑτοῦ ἐπιεικείᾳ καὶ ῥώμῃ ὑπερέχειν, ἀλλὰ διὰ τὴν τῶν ἄλλων ἀσθένειαν. θέλοι δ' ἂν οὐδεὶς οὕτω τὸν θεὸν φάναι κράτιστον εἶναι, ἀλλ' ὅτι αὐτὸς ἔχει ὡς οἷόν τε ἄριστα, καὶ οὐδὲν ἐλλείπει καὶ εὖ καὶ καλῶς ἔχειν αὐτῷ· ἅμα γὰρ ἴσως ἔχοντι κἀκεῖνο ἂν συμβαίνοι. οὕτω δὲ διακεῖσθαι καὶ πλείους αὐτοὺς ὄντας οὐδὲν ἂν κωλύοι, ἅπαντας ὡς οἷόν τε ἄριστα διακειμένους,-καὶ κρατίστους τῶν ἄλλων, οὐχ αὑτῶν ὄντας. ἔστι δ', ὡς ἔοικε, καὶ ἄλλα· κράτιστον γὰρ εἶναι τὸν θεόν φησι, τοῦτο δέ τινων εἶναι ἀνάγκη. ἕνα δ' ὄντα πάντῃ ὁρᾶν καὶ ἀκούειν οὐδὲν προσήκει· οὐ γάρ, εἰ μὴ καὶ τῇδ' ὁρᾷ, χεῖρον ὁρᾷ ταύτῃ, ἀλλ' οὐχ ὁρᾷ. ἀλλ' ἴσως τοῦτο βούλεται τὸ πάντῃ αἰσθάνεσθαι, ὅτι οὕτως ἂν βέλτιστα ἔχοι, ὅμοιος ὢν πάντῃ. ἔτι τοιοῦτος ὢν διὰ τί σφαιροειδὴς ἂν εἴη, ἀλλ' οὐχ [ὅτι] ἑτέραν τινὰ μᾶλλον ἔχων ἰδέαν, ὅτι πάντῃ ἀκούει καὶ πάντῃ κρατεῖ; ὥσπερ γὰρ ὅταν λέγωμεν τὸ ψιμμύθιον ὅτι πάντῃ ἐστὶ λευκόν, οὐδὲν ἄλλο σημαίνομεν ἢ ὅτι ἐν ἅπασιν αὐτοῦ τοῖς μέρεσιν ἐγκέχρωσται ἡ λευκότης· τί δὴ κωλύει οὕτω κἀκεῖ τὸ πάντῃ ὁρᾶν καὶ ἀκούειν καὶ κρατεῖν λέγεσθαι, ὅτι ἅπαν ὃ ἄν τις αὐτοῦ λαμβάνῃ μέρος, τοῦτ' ἔσται πεπονθός; ὥσπερ δὲ οὐδὲ

τό γε Bergk ‖ 2 τὴν διὰ Lps. ‖ 4 ἐλλείπει Lps.: ἐκλείπει ceteri ‖ 5 αὐτὸν Bergk ‖ ἅμα] ἀλλὰ Bergk ‖ ἴσως] οὕτως Brandis fort. recte, καλῶς Mullach ‖ κἀκείνῳ Lps. ‖ συμβαίνοι Lps.: συμβαίη R^a ‖ 6 post διακεῖσθαι plene interpungit Lps. ‖ οὐδὲν ἂν κωλύοι Mullach: οὐδὲν (sic!) ἂν κωλύῃ Lps., οὐδένα κωλύει R^a. cf. p. 178, 3 ‖ 7 ἅπαντας clare exaratum in Lps., quod moneo propter Beckium ‖ οἷόν τε Lps.: οἴονται R^a ‖ 8 ἀὑτῶν (sic) Lps. ‖ dubium ἔστι an ἔτι voluerit Lps. ‖ 9 τινῶν Lps.: τινι R^a ‖ 10 post ἀνάγκη plene interpunxit Brandis l. l p. 79 ‖ ἕνα δ' ὄντα πάντῃ Mullach (ἕνα ὄντα iam Brandis restituit): ἕνα, τὸν τὰ πάντα Lps., ἕνα τὰ πάντα ceteri ‖ 11 οὐ^δὲ^ γὰρ Lps. ‖ εἰ μὴ] εἰμὶ R^a ‖ καὶ om. Lps., sed μ in μὴ ita scriptum, ut olim κ vel praepositum vel scriptum videatur ‖ 14 διὰ τί Lps.: διότι R^a ‖ οὐχ ὅτι] ὅτι del. Karsten, οὐκ ἔτι Brandis, an forte οὐχί? ‖ 16 ψιμύθιον Lps. ‖ πάντῃ Lps.: πάντα ceteri ‖ 17 οὐδὲ Lps. ‖ ἄλλο Lps.: ἄλλο τι ceteri ‖ ἢ om. Lps. ‖ ἀν τοῦ (sic) Lps. ‖ 18 ἐγκέχρησται R^a ‖ 19 τις] τ Lps. ‖ 20 λαμβάνῃ Lps.: λαμ-

τὸ ψιμμύθιον, οὐδὲ τὸν θεὸν ἀνάγκη εἶναι διὰ τοῦτο σφαιροειδῆ. ἔτι μήτε ἄπειρον μήτε πεπεράνθαι σῶμα γε ὂν καὶ ἔχον μέγεθος πῶς οἷόν τε, εἴπερ τοῦτ' ἐστὶν ἄπειρον ὃ ἂν μὴ ἔχῃ πέρας δεκτικὸν ὂν πέρατος, πέρας δ' ἐν μεγέθει καὶ πλήθει ἐγγίγνεται καὶ ἐν ἅπαντι τῷ ποσῷ, ὥστε εἰ μὴ ἔχει πέρας μέγεθος ὄν, ἄπειρόν ἐστιν; ἔτι δὲ σφαιροειδῆ ὄντα ἀνάγκη πέρας ἔχειν. ἔσχατα γὰρ ἔχει, εἴπερ μέσον ἔχει, ἃ τούτου πλεῖστον ἀπέχει. μέσον δ' ἔχει, σφαιροειδὲς ὄν· τοῦτο γάρ ἐστι σφαιροειδὲς ὃ ἐκ τοῦ μέσου ὁμοίως πρὸς τὰ ἔσχατα. σῶμα δὲ ἔσχατα ἢ πέρατα ἔχειν, οὐδὲν διαφέρει. εἰ δὲ καὶ τὸ μὴ ὂν ἄπειρον, τί οὐκ ἂν καὶ τὸ ὂν ἄπειρον; τί γὰρ κωλύει ἔνια ταὐτὰ λεχθῆναι κατὰ τοῦ ὄντος καὶ μὴ ὄντος; τό τε γὰρ [ὂν] οὐκ ὂν οὐδεὶς νῦν αἰσθάνεται, καὶ ὂν δέ τις οὐκ ἂν αἰσθάνοιτο νῦν· ἄμφω δὲ λεκτὰ καὶ δια-

βάνει R^a ‖ 1 ψιμύθιον Lps. ‖ εἶναι διὰ τοῦτο Lps.: διὰ τοῦτο εἶναι ceteri ‖ 2 εἶναι post ἄπειρον inseri iubet Mullach. At cf. p. 180, 11 et p. 186, 11 ‖ μήτε ante πεπεράνθαι in Lps. e correctione. Videtur ἤ ab initio ponere voluisse librarius ‖ ὢν Lps. ‖ 3 ἔχων Lps R^a ‖ ἔστιν Lps. ‖ 4 ἔχοι R^a ‖ λεκτικόν R^a ‖ post πέρατος commate interpunxi sententia flagitante; in codd. et edd. plene interpungebatur ‖ 5 ἂν μὴ ἔχῃ R^a ‖ 6 ὂν Lps.: ὅσον ceteri ‖ post ἐστιν signum interrogationis posui ‖ 8 ἃ τούτου πλεῖστον ἀπέχει i. e. si centrum habet, extrema habet ea (vel extrema eius sunt ea), quae a centro maxime distant. Sic locum constituendum putavi: αὐτοῦ. τοῦ πλεῖστον ἀπέχει Lps., αὐτοῦ τοῦ πλεῖστον ἀπέχειν R^a vulgo, ἃ αὐτοῦ τοῦ μέσου πλεῖστον ἀπέχει correctura in Isengrim. mrg., del. Fülleborn et Brandis ‖ 9 ὂν] ὢν Kern ‖ τοῦτο γάρ ἐστι σφαιροειδές, ὃ haec verba in Lps., a quo abesse ea Mullach affirmat, clare exarata extant ‖ ἐκ] ÷ ἐκ Lps., falso Mullach refert esse in Lps. μὲν ÷ ἐκ ‖ πρὸς Lps.: πυρὸς ceteri ‖ 10 δὲ add. Lps. ‖ οὐδὲν διαφέρει Bergk: οἷον διαφέρει Lps., οἷον διαφορεῖ ceteri ‖ 11 εἰ δὲ scripsi: εἰ γὰρ codd., εἰ δ' ἄρα Brandis ‖ ἄπειρον, τί οὐκ Didotiana: ἄπεστι, οὐκ Lps., ἁπλοῦν, οὐκ cet. vulg., ἄπειρόν ἐστι, τί οὐκ Brandis ‖ 12 ταῦτ' ἂν λεχθῆναι (sic) Lps. ‖ 13 ὂν quod seclusit Mullach, abest etiam a vet. edd., velut Du Valliana, quae habet τό τε οὐκ ὂν γὰρ ‖ 14 λεκτὰ καὶ Lps.: λεκτὰ ὅπου R^a, λεκτὰ δήπου καὶ Kern

νοητά. οὐ λευκὸν δὲ τὸ μὴ ὄν· ἢ οὖν διὰ τοῦτο τὰ ὄντα πάντα λευκά, ὅπως μή τι ταὐτὸ κατὰ τοῦ ὄντος σημαίνωμεν καὶ μὴ ὄντος, ἢ οὐδέν, οἶμαι, κωλύει καὶ τῶν ὄντων τι μὴ [ὂν] εἶναι λευκόν· οὕτω δὲ καὶ ἄλλην οὖν ἀπόφασιν δέξονται τὸ ἄπειρον, εἰ μὴ τὸ πάλαι λεχθέν τι μᾶλλον παρὰ τὸ μὴ ἔχειν ἢ μὴ ἔχειν ἐστὶν ἅπαν. ὥστε καὶ τὸ ὂν ἢ ἄπειρον ἢ πέρας ἔχον ἐστίν. ἴσως δὲ ἄτοπον τὸ καὶ προσάπτειν τῷ μὴ ὄντι ἀπειρίαν. οὐ γὰρ πᾶν, εἰ μὴ ἔχει πέρας, ἄπειρον λέγομεν, ὥσπερ οὐδ' ἄνισον οὐκ ἂν φαῖμεν εἶναι τὸ μὴ ὄν. ἔτι ⟨τί⟩ οὐκ ἂν ἔχοι ὁ θεὸς πέρας εἷς ὤν, ἀλλ' οὐ πρὸς θεόν; εἰ δ' ἓν μόνον ἐστίν, ὁ θεὸς ἂν εἴη μόνον 978 καὶ τὰ τοῦ θεοῦ μέρη. ἔτι καὶ τοῦτ' ἄτοπον, εἰ τοῖς πολλοῖς συμβέβηκε πεπεράνθαι πρὸς ἄλληλα, διὰ τοῦτο τὸ ἓν μὴ ἔχειν πέρας. πολλὰ γὰρ τοῖς πολλοῖς καὶ τῷ ἑνὶ ὑπάρχει ταὐτά, ἐπεὶ καὶ τὸ εἶναι κοινὸν αὐτοῖς ἐστιν. ἄτοπον οὖν

1 in Lps. dubium utrum λευκὸν δὲ an λευκὸν τὲ voluerit librarius ‖ ἢ Brandis: εἰ codd. ‖ 2 ταὐτὸ om. Lps. ‖ κατὰ in ultimis litteris e correctione Lps. ‖ σημήνωμεν Lps. ‖ 3 οἶμαι add. Lps., cf. Anal. post. 71b 6 ἀλλ' οὐδέν, οἶμαι, κωλύει ‖ τι μὴ Lps.: τιμιον Ra, τι μὴ ὂν vulgo ‖ 4 οὕτω — 6 ἅπαν dedi quae in codd. inveniuntur, nisi quod in Bekkerianis pro λεχθέν τί (Lps.) scriptum extat λεχθέντι. Verba aperte corrupta sic emendare conatus est Brandis: οὕτω δὲ κατ' ἄλλην οὖν ἀπόφασιν δέξονται τὸ ἄπειρον, εἰ καὶ μὴ τῷ πάλαι λεχθέντι ἔτι μᾶλλον περὶ τὸ ἔχειν ἢ μὴ ἔχεν ἐστὶν ἅπαν. Quae cur improbanda viderentur, exposui in prolegg.; ipse in hunc modum refingenda censeo verba: οὕτω δὲ κατ' ἄλλην οὖν ἀπόφασιν δέξεται τὸ ὂν τὸ ἄπειρον, εἰ, κατὰ τὸ πάλαι λεχθέν (cf. p. 183, 3 sq.), τὶ μᾶλλον παρὰ τὸ ἔχειν ἢ μὴ ἔχειν ἐστὶν ἄπειρον ‖ 6 ὥστε — 7 ἐστίν per διττογραφίαν haec bis in Lps. scripta extant, nisi quod ab altera scriptione ἢ ante ἄπειρον abest ‖ 7 δὲ τὸ ἄτοπον Lps. Ra, sed in Lps. τὸ supra scriptum ‖ τὸ καὶ προσάπτειν Lps.: καὶ προσάπτειν Ra ‖ 10 τί add. Brandis ‖ ἀλλ' οὐ πρὸς θεόν] ἄλλον πρὸς θεόν Lps., ἄλλον πρὸς θεόν Felicianus, Kern ‖ 11 haec fort. sic scribenda: εἰ δ' ἓν μόνον ἐστιν, ὃ θεὸς ἂν εἴη, μένει καὶ τὰ τοῦ θεοῦ μέρη. Mullach sic conformata edidit: εἰ δὲ ἓν μόνον ἐστὶν ὁ θεός, ἓν ἂν (sic cum uno Bekk. cod.) εἴη μόνον καὶ τὰ τοῦ θεοῦ μέρη ‖ 12 ἔτι (ἔτι δὲ) Kern: ἐπεὶ codd. ‖ 15 ταῦτα Ra

ἴσως ἂν εἴη, εἰ διὰ τοῦτο μὴ φαῖμεν εἶναι τὸν θεόν, εἰ τὰ πολλά ἐστιν, ὅπως μὴ ὅμοιον ἔσται αὐτοῖς ταύτῃ. ἔτι τί κωλύει πεπεράνθαι καὶ ἔχειν πέρατα ἓν ὄντα τὸν θεόν; ὡς καὶ ὁ Παρμενίδης λέγει ἓν ὂν εἶναι αὐτὸν ‛πάντοθεν εὐκύκλου σφαίρας ἐναλίγκιον ὄγκῳ, μεσσόθεν ἰσοπαλές’. τὸ γὰρ πέρας τινὸς μὲν ἀνάγκη ἴσως εἶναι, οὐ μέντοι πρός τί γε, οὐδὲ ἀνάγκη τὸ ἔχον πέρας πρός τι ἔχειν πέρας, ὡς πεπερασμένον πρὸς τὸ [μὴ] ἐφεξῆς ἄπειρον, ἀλλ’ ἔστι τὸ πεπεράνθαι ἔσχατα ἔχειν· ἔσχατα δ’ ἔχον οὐκ ἀνάγκη πρός τι ἔχειν. ἐνίοις μὲν οὖν συμβαίνει πᾶν, καὶ πεπεράνθαι ⟨καὶ⟩ πρός τι συνάπτειν, τοῖς δὲ πεπεράνθαι μέν, μὴ μέντοι πρός τι πεπεράνθαι. πάλιν περὶ τοῦ ⟨μὴ⟩ ἀκίνητον εἶναι τὸ ὂν καὶ τὸ ἕν, ὅτι καὶ τὸ ⟨μὴ⟩ ὂν ⟨οὐ⟩ κινεῖται, ἴσως ὁμοίως τοῖς ἔμπροσθεν ἄτοπον. καὶ ἔτι ἆρά γε οὐ ταὐτὸ ἄν τις ὑπολάβοι τὸ μὴ κινεῖσθαι καὶ τὸ ἀκίνητον εἶναι, ἀλλὰ τὸ μὲν ἀπόφασιν τοῦ κινεῖσθαι, ὥσπερ τὸ μὴ ἴσον, ὅπερ καὶ κατὰ τοῦ μὴ ὄντος εἰπεῖν ἀληθές, τὸ δὲ ἀκίνητον τῷ ἔχειν πως ἤδη λέγεσθαι, ὥσπερ τὸ ἄνισον, καὶ ἐπὶ τῷ ἐναντίῳ τοῦ κινεῖσθαι, τῷ ἠρεμεῖν, ὡς καὶ σχεδὸν αἱ ἀπὸ τοῦ ἄλφα ἀποφάσεις ἐπὶ ἐναντίων λέγονται. τὸ μὲν οὖν μὴ κινεῖσθαι ἀληθὲς ἐπὶ τοῦ μὴ ὄντος, τὸ δὲ ἠρεμεῖν οὐχ ὑπάρχει τῷ

1 *φαμὲν* Lps. ‖ 2 *ταύ . . . . ἔτι* Lps. Scribendum fort. *ταύτῃ, ᾗ ἔστι,* deinde *τί ⟨οὖν⟩ κωλύει* ‖ 4 *πὰρ μενίδης* Lps. ‖ *αὐτὸ* Lps. ‖ 5 *ὄγκῳ* Lps.: *ὂν τῷ* R^a ‖ 6 *ἴσως* om. Lps., *ἴσον* R^a ‖ 8 *πρὸς τὸ ἐφεξῆς ἄπειρον* Mullach: *πρὸς τὸ μὴ ἐφεξῆς ἀπείρου* codd., *πρός τι τοῦ ἐφεξῆς ἀπείρου* Kern, possis etiam cogitare de *πρὸς τομὴν* (Schnittfläche) *τοῦ ἐφεξῆς ἀπείρου* ‖ 9 *οὐκ*] *οὐκ ἂν* Lps. ‖ 10 *οὖν* Lps.: *οὐ* ceteri ‖ *καὶ* post *πεπεράνθαι* add. Brandis ‖ 11 *πρός τι* — 12 *τι πεπεράνθαι* addidit Lps. ‖ 12 *μὴ ἀκίνητον εἶναι* Brandis: *ἀκίνητον εἶναι* codd., *μὴ ἀκίνητον εἶναι καὶ μὴ κινεῖσθαι* Mullach ‖ 13 *τὸ ὂν καὶ τὸ ἓν* Lps.: *τὸ ὂν καὶ τὸ ὂν* R^a, *τὸ ἓν καὶ τὸ ὂν* vulgo ‖ 13 *καὶ* del. Bergk ‖ *μὴ* et *οὐ* add. Brandis ‖ 14 *καὶ ἔτι ἄρα γε κ. τ. λ.* recte se habere docuit Bonitz l. l. p. 83 ‖ *τις*] *τι* R^a ‖ 16 *τοῦ*] *τῷ* Lps. ‖ *τὸ μὴ ἴσον (ἴσον), ὅπερ* Lps.: *μὴ τὸ ἴσον ὥσπερ* ceteri ‖ 17 *εἰπεῖν* Bonitz: *εἴπερ* codd. ‖ 20 *ἐναντίων* Lps.: *ἐναντίοις* ceteri

μὴ ὄντι. ὁμοίως δὲ οὐδὲ ἀκίνητον εἶναι, ⟨ὃ⟩ σημαίνει ταὐτόν. ἀλλ' οὗτος τῷ ἠρεμεῖν ἐπ' αὐτῷ χρῆται, καὶ φησὶ τὸ μὴ ὂν ἠρεμεῖν, ὅτι οὐκ ἔχει μετάβασιν. ὅπερ δὲ καὶ ἐν τοῖς ἄνω εἴπομεν, ἄτοπον ἴσως, εἴ τι τῷ μὴ ὄντι προσάπτομεν, τοῦτο μὴ ἀληθὲς εἶναι κατὰ τοῦ ὄντος εἰπεῖν, ἄλλως τε κἂν ἀπόφασις ᾖ τὸ λεχθέν, οἷον καὶ τὸ μὴ κινεῖσθαι μηδὲ μεταβαίνειν ἐστίν. πολλὰ γὰρ ἄν, καθάπερ καὶ ἐλέχθη, ἀφαιροῖτο τῶν ὄντων κατηγορεῖν. οὐδὲ γὰρ ἂν πολλὰ ἀληθὲς εἰπεῖν εἴη μὴ ἕν, εἴπερ καὶ τὸ μὴ ὂν ἐστὶ μὴ ἕν. ἔτι ἐπ' ἐνίων τἀναντία ξυμβαίνειν δοκεῖ κατὰ τὰς αὐτὰς ἀποφάσεις· οἷον ἀνάγκη ἢ ἴσον ἢ ἄνισον, ἄν τι πλῆθος ἢ μέγεθος ᾖ, καὶ ἄρτιον ἢ περιττόν, ἂν ἀριθμὸς ᾖ. ὁμοίως δ' ἴσως καί τι ἢ ἠρεμεῖν ἢ κινεῖσθαι ἀνάγκη, ἂν σῶμα ᾖ. ἔτι εἰ καὶ διὰ τοῦτο μὴ κινεῖται ὁ θεός τε καὶ τὸ ἕν, ὅτι τὰ πολλὰ κινεῖται τῷ εἰς ἄλληλα ἰέναι, τί κωλύει καὶ τὸν θεὸν κινεῖσθαι εἰς ἄλλο; οὐδαμοῦ ⟨γὰρ λέγει⟩ ὅτι ⟨ἕν ἐστι⟩ μόνον, ἀλλ' ὅτι εἷς μόνος θεός. εἰ δὲ καὶ

1 ὃ σημαίνει ταὐτόν Brandis: συμβαίνει ταὐτόν Lps., σημαίνει ταὐτόν ceteri ‖ 2 τῷ ἠρεμεῖν ἐπ' αὐτῷ Bonitz: ἐπὶ τὸ ἠρεμεῖν αὐτῷ Lps., ἐπὶ τῷ ἠρεμεῖν αὐτῷ ceteri ‖ 3 ὅπερ δὲ scripsi: ὅπερ τὲ Lps., ὅπερ ceteri, ἀλλ' ὅπερ Mullach ‖ 6 ᾖ τὸ λεχθὲν οἷον scripsi: ἡ τὸ ÷λε÷χθὲν Lps., ᾖ τὸ λεχθέν των ceteri, ᾖ τὸ λεχθὲν οἷα Mullach, ᾖ τὸ λεχθέν, ὧν Kern, η τ . . ἐλεγχθέντων vulgo ‖ 7 μεταβαίνειν Mullach: μεταλαμβάνειν codd. ‖ 8 κατηγορεῖν Tauchnitziana: κατηγορεῖ codd: cf. Bonitz l. l. p. 84 ‖ 9 dubium ἓν an ἑνὸς voluerit Lps. ‖ 10 ἔτι Bonitz: εἶτε codd., εἶτα Mullach, οὐδὲ Kern ‖ κατὰ τὰς αὐτὰς ἀποφάσεις Lps.: κατὰ τοσαύτας ἀποφάσεις ceteri, κατὰ τοιαύτας ἀποφάσεις Kern. An κατὰ τὰς ἐναντίας ἀποφάνσεις? ‖ 11 οἷον Bonitz: ὂν Lps., ὧν ceteri ‖ ἴσον ⟨εἶναι⟩ Mullach. At cf. p. 183, 2 ‖ 12 ἢ μέγεθος ᾖ ('quidquid multitudine et *magnitudine* constat' Felicianus) scripsi: ἤ. μὴ ὡς ἢ Lps., ᾖ, καὶ μὴ ὡς ἢ ceteri. cf. p. 183, 4 ‖ ἂν] κἂν Lps. ‖ 13 δ' ἴσως Lps.: δὲ ὡς ceteri ‖ καί τι ἢ scripsi: καὶ τὸ codd. ‖ 14 ᾖ Lps., ἢ Rᵃ ‖ 15 ἰέναι Lps. ‖ 16 κινᾶσθαι Rᵃ ‖ οὐδαμοῦ — 17 μόνον scripsi: οὐδα . . . . ὅτι . . . . μόνον Lps., οὐδα τι μόνον ceteri, οὐδαμῶς γὰρ λέγει, ὅτι ἓν μόνον Kern, οὐδαμῶς γε, ὅτι θεὸς μόνον Mullach

οὕτως, τί κωλύει εἰς ἄλληλα κινουμένων τῶν μερῶν τοῦ ⟨θεοῦ⟩ κύκλῳ φέρεσθαι τὸν θεόν; οὐ γὰρ δὴ τὸ τοιοῦτον ἕν, ὥσπερ ὁ Ζήνων, πολλὰ εἶναι φήσει. αὐτὸς γὰρ σῶμα λέγει εἶναι τὸν θεόν, εἴτε τόδε τὸ πᾶν, εἴτε ὅ τι δήποτε αὐτὸ λέγων. ἀσώματος γὰρ ὤν, πῶς ἂν σφαιροειδὴς εἴη; ἔτι μόνως γ' ἂν οὕτως οὔτ' ἂν κινοῖτο οὔτ' ἂν ἠρεμοῖ μηδαμοῦ γε ὤν· ἐπεὶ δὲ σῶμά ἐστι, τί ἂν αὐτὸ κωλύοι κινεῖσθαι ὡς ἐλέχθη;

ΠΕΡΙ ΓΟΡΓΙΟΥ.

Οὐκ εἶναί φησιν οὐδέν· εἰ δ' ἔστιν, ἄγνωστον εἶναι· εἰ δὲ καὶ ἔστι καὶ γνωστόν, ἀλλ' οὐ δηλωτὸν ἄλλοις. καὶ ὅτι μὲν οὐκ ἔστι, συνθεὶς τὰ ἑτέροις εἰρημένα, ὅσοι περὶ τῶν ὄντων λέγοντες τἀναντία, ὡς δοκοῦσιν, ἀποφαίνονται αὐτοῖς, οἱ μὲν ὅτι ἓν καὶ οὐ πολλά, οἱ δὲ αὖ ὅτι πολλὰ καὶ οὐχ ἕν, καὶ οἱ μὲν ὅτι ἀγένητα, οἱ δ' ὡς γενόμενα ἐπιδεικνύντες, ταῦτα συλλογίζεται κατ' ἀμφοτέρων. ἀνάγκη γάρ, φησίν, εἴ τι ἔστιν, ⟨ἤτοι ἓν ἢ πολλὰ εἶναι καὶ ἤτοι ἀγένητα ἢ γενόμενα. εἰ δὴ ξυμβαίνει⟩ μήτε ἓν μήτε πολλὰ εἶναι, μήτε ἀγένητα μήτε γενόμενα, οὐδὲν ἂν εἴη. εἰ γὰρ εἴη τι, τούτων ἂν θάτερα εἴη. ὅτι ⟨οὖν⟩ οὐκ ἔστιν οὔτε ἓν οὔτε πολλά,

1 *οὕτως* scripsi cf. p. 189, 6 (i. e. statuas *ὅτι ἕν ἐστι μόνον*): *οὗτος* Lps., *αὐτός* ceteri ‖ *τοῦ* — 2 *θεόν*; Bergk: *του* . . . . . . *κυκλ*^{ω}*φε* . . . . *θεόν* Lps., *τοῦ κύκλῳ φε θεόν* nonnulli Bekk. codd. (*κύκλω θεόν* Rª), *τοῦ περιέχοντος θεοῦ κύκλῳ φέρεσθαι τὸν θεόν*; Kérn ‖ 3 *φήσει* Lps. Rª: *φύσει* vulgo. Recte Lps. neque ulla mutatione opus. Cf. Überweg, Philol. 28 p. 711 ‖ 4 *αὐτὸ* in Lps. ita exaratum, ut etiam *αὐτὸς* legi possit ‖ 5 *ἔτι μόνως* scripsi: *ἐπεὶ μόνως* Lps., *ἐπιμόνως* ceteri ‖ *γ' ἂν* Bergk: *τ' ἂν* Lps., *ὅταν* ceteri cf. prolegg. ‖ 7 *αὐτὸν* Bergk ‖ *κωλύει* Rª ‖ 8 *Ἀριστοτέλους περὶ Γοργίου* Lps., titulum om. Rª ‖ 10 *ἄλλως* Rª ‖ 12 *αὐτοῖς* Lps. ‖ 13 *αὖ ὅτι*] *ὅτι* Lps., sed *ὅ* e correctione, fuerat *π*, nam librarius statim *πολλὰ* scribere voluerat, *οὐ ὅτι οὐ* Rª ‖ 14 *ἀγένητα* Lps.: *ἂν γένηται* Rª ‖ 15 *κατ'*] *τ'* Lps. ‖ 16 *ἐστὶ* Lps. ‖ *ἤτοι* — 17 *ξυμβαίνει* add. Bonitz ‖ 18 *ἀγέννητα* Rª et sic saepius ‖ *εἴη* Lps.: *μὴ εἴη* ceteri ‖ *τί* Lps. ‖ 19 *οὖν* add. Bonitz

οὔτε ἀγένητα οὔτε γενόμενα, τὰ μὲν ὡς Μέλισσος, τὰ δὲ ὡς Ζήνων ἐπιχειρεῖ δεικνύειν μετὰ τὴν πρώτην ἰδίαν αὐτοῦ ἀπόδειξιν, ἐν ᾗ λέγει ὅτι οὐκ ἔστιν οὔτε εἶναι οὔτε μὴ εἶναι. εἰ μὲν γὰρ τὸ μὴ εἶναι ἔστι μὴ εἶναι, οὐδὲν ἂν ἧττον τὸ μὴ ὂν τοῦ ὄντος εἴη. τό τε γὰρ μὴ ὂν ἔστι μὴ ὄν, καὶ τὸ ὂν ὄν, ὥστε οὐδὲν μᾶλλον εἶναι ἢ οὐκ εἶναι τὰ πράγματα. εἰ δ' ὅμως τὸ μὴ εἶναι ἔστι, τὸ εἶναι, φησίν, οὐκ ἔστι, τὸ ἀντικείμενον. εἰ γὰρ τὸ μὴ εἶναι ἔστι, τὸ εἶναι μὴ εἶναι προσήκει. ὥστε οὐκ ἂν οὕτως, φησίν, οὐδὲν ἂν εἴη, εἰ μὴ ταὐτόν ἐστιν εἶναί τε καὶ μὴ εἶναι. εἰ δὲ ταὐτό, καὶ οὕτως οὐκ ἂν εἴη οὐδέν· τό τε γὰρ μὴ ὂν οὐκ ἔστι καὶ τὸ ὄν, ἐπείπερ γε ταὐτὸ τῷ μὴ ὄντι. οὗτος μὲν οὖν ὁ αὐτοῦ λόγος ἐκείνου.

6 Οὐδαμόθεν δὲ συμβαίνει ἐξ ὧν εἴρηκεν, μηδὲν εἶναι. ἃ γὰρ καὶ ἀποδείκνυσιν, οὕτως διαλέγεται. εἰ τὸ μὴ ὂν ἔστιν, ἢ ἔστιν ἁπλῶς εἰπεῖν, ἢ ᾗ καὶ ἔστιν τὸ μὴ ὂν μὴ ὄν. τοῦτο δὲ οὔτε φαίνεται οὕτως οὔτε ἀνάγκη, ἀλλ' ὡσπερεὶ δυοῖν ὄντοιν, τοῦ μὲν ὄντος, τοῦ δὲ δοκοῦντος, τὸ μὲν ἔστι, τὸ δ' οὐκ ἀληθές, ὅτι ἔστι τὸ μὲν μὴ ὄν. διὰ τί οὖν οὐκ ἔστιν οὔτε εἶναι οὔτε μὴ εἶναι; τὸ δ' ἄμφω οὐθ' ἕτερον οὐκ ἔστιν. οὐδὲν .γὰρ ⟨ἧττον⟩, φησίν, εἴη ἂν τὸ μὴ εἶναι

2 *ἰδίαν* Foss de Gorgia Leontino: *ἴδιον* codd. ‖ 4 *ἔστι*] *ἢ ἐστὶ* R^{a} ‖ 5 *ἐστι* codd. ‖ 6 *εἶναι ἢ* Lps.: *ἢ εἶναι ἢ* cet. ‖ *τὰ* om. Lps. ‖ 7 et 8 et 16 *ἐστὶ* vel *ἐστι* codd. ‖ 10 *ἐστιν εἶναί*] *ἐστι ναί* R^{a} ‖ *εἰ* Lps.: *ἔστι* ceteri ‖ 12 *γε* add. Lps. ‖ *αὐτοῦ* scripsi: *αὐτὸς* codd. ‖ 15 *καὶ* om. R^{a} ‖ *ἀποδεικνύουσιν* Lps. ‖ *εἰ*] *ἢ* Lps., *ἡ* R^{a} ‖ 16 *ἢ ἔστιν — μὴ ὄν* scripsi Mus. rhen. 1888 p. 208 sq. cf. p. 189, 2: *ἢ ἔστιν ἁπλῶς εἰπεῖν εἴη καὶ ἔστιν ὅμοιον μὴ ὄν* R^{a}. vulgo; *ἢ ἁπλῶς εἰπεῖν εἴη, καὶ ἔστιν ὅμοιον μὴ ὄν* Lps., *ἔστιν, ἁπλῶς εἰπεῖν, καί ἐστιν ὁμοίως μὴ ὄν* Foss ‖ 17 *ὡσπερεὶ*] *ὥσπερ εἰ* Lps., *ὡς περὶ* R^{a} ‖ 18 *ὄντοιν τοῦ μὲν ὄντος* Lps.: *ὄντος* R^{a} ‖ *δὲ δοκοῦντος* Lps.: *δ' οὐκ ὄντος* ceteri ‖ *τὸ μὲν ἐστὶ* Lps., *τὰ μὲν ἔστι* R^{a} ‖ 19 *ὅτι ἔστι* Foss: *ὅτι ἐστὶ* codd. ‖ *διὰ τί* Lps.: *διότι* ceteri ‖ 20 *τὸ δὲ* Lps. (cf. quae exposui l. l. p. 210) *τὰ* ceteri, *οὔτε τὰ* retento *διότι* Foss ‖ 21 *ἧττον* add. Foss: in Lps. inter *γὰρ* et *φησίν* lacuna septem fere litt. capax, ceteri sine

τοῦ εἶναι, εἴπερ εἴη τι καὶ τὸ μὴ εἶναι, ὅτε οὐδείς φησιν εἶναι τὸ μὴ εἶναι οὐδαμῶς. εἰ δὲ καὶ ἔστι τὸ μὴ ὂν μὴ ὄν, οὐχ οὕτως ὁμοίως εἴη ἂν τὸ μὴ ὂν τῷ ὄντι· τὸ μὲν γάρ ἐστι μὴ ὄν, τὸ δὲ καὶ ἔστιν ἔτι. εἰ δὲ καὶ ἁπλῶς εἰπεῖν ἀληθές, ὡς δὴ θαυμάσιόν γ' ἂν εἴη τὸ μὴ ὂν ἔστιν. ἀλλ' εἰ δὴ οὕτω, πότερον μᾶλλον ξυμβαίνει ἅπαντα ἢ εἶναι μὴ εἶναι; αὐτὸ γὰρ οὕτω γε τοὐναντίον ἔοικε γίγνεσθαι. εἰ γὰρ τό τε μὴ ὂν ὄν ἐστι καὶ τὸ ὂν ὄν ἐστιν, ἅπαντα ἔστιν. καὶ γὰρ τὰ ὄντα καὶ τὰ μὴ ὄντα ἔστιν. οὐκ ἀνάγκη γάρ, εἰ τὸ μὴ ὂν ἔστι, καὶ τὸ ὂν μὴ εἶναι. εἰ δὴ καὶ οὕτω τις ξυγχωροῖ, καὶ τὸ μὲν μὴ ὂν εἴη, τὸ δὲ ὂν μὴ εἴη, ὅμως οὐδὲν ἧττον εἴη ἂν ⟨τι⟩· τὰ γὰρ μὴ ὄντα εἴη κατὰ τὸν ἐκείνου λόγον. εἰ δὲ ταὐτόν ἐστι τὸ εἶναι καὶ τὸ μὴ εἶναι, οὐδ' οὕτως μᾶλλον οὐκ εἴη ἄν τι ἢ εἴη. ὡς γὰρ κἀκεῖνος λέγει, ὅτι εἰ ταὐτὸ τὸ μὴ ὂν καὶ τὸ ὄν, τό τε ὂν οὐκ ἔστι καὶ τὸ μὴ ὄν, ὥστε οὐδὲν ἔστιν, ἀντιστρέψαντι ἔστιν ὁμοίως φάναι ὅτι πάντα ἔστιν. τό τε γὰρ μὴ ὂν ἔστι καὶ τὸ ὄν, ὥστε

lacuna ‖ 1 ὅτε οὐδείς Lps.: οὐδείς ceteri; τοῦτο δὲ οὐδεὶς Foss, ἀλλ' οὐδεὶς Kern, Krit. Bemerk. z. 3. Theil d. Schr. περὶ ΞΖΓ p. 9 ‖ 3 οὐχ Foss: οὐδ' codd. ‖ ὁμοίως an ὅμοιον voluerit Lps. dubium ‖ τῷ ὄντι nonnulli Bekk. codd.: τῷ μὴ ὄντι Lps. R^a ‖ 5 γ' ἂν Lps.: τ' ἂν ceteri ‖ ἔστιν Foss: ἐστιν codd. ‖ 6 πρότερον Lps. ‖ ἅπαντα Lps.: τὰ πάντα ceteri ‖ ἢ εἶναι μὴ εἶναι Lps. (nisi quod interpungit inter εἶναι et μὴ): εἶναι ἢ μὴ εἶναι ceteri. Quae Lps. habet, sententiae satisfaciunt, sed commodius verba sic collocantur: μὴ εἶναι ἢ εἶναι et sic fort. scribendum ‖ 8 μὴ ὄν^{ὄν} ἐστι (sic) Lps.: μὴ ὄν ἐστι R^a, μὴ ὂν μὴ ὄν ἐστι unus Bekk. in mrg. ‖ ἔστι post ἅπαντα Foss: ἐστι codd. ‖ 9 γὰρ τὰ] τὰ γὰρ τὰ Lps. ‖ ante μὴ Lps. om. τὰ ‖ hic et 10 ἔστιν Foss: ἐστιν codd. ‖ 10 εἰ — ξυγχωροῖ Lps. (ceteri ξυγχωρεῖ): εἰ δὲ καὶ τοῦτό τις ξυγχωροῖ Mullach. Scribendum fort. εἰ δ' εἶναι οὕτω τις ξυγχωροῖ cf. prolegg. ‖ 12 τι add. Foss ‖ 13 prius τὸ Lps.: καὶ τὸ cet. ‖ 14 οὐκ — ἢ εἴη scripsi l. l. p. 211: οὐκ (clare exaratum in Lps., om. Beck) εἴη ἀντι . . . . cum lacuna trium quattuorve litt. Lps., οὐκ εἴη ἄν τι εἴη ceteri ‖ 15 ταὐτὸ τὸ μὴ ὂν καὶ τὸ ὂν Lps.: ταὐτὸν μὴ ὂν καὶ ὂν ceteri ‖ 16 ἔστιν post οὐδὲν Foss: ἐστιν codd. ‖ 17 πάντα ἔστι Foss:

πάντα ἔστιν. Μετὰ δὲ τοῦτον τὸν λόγον φησίν, εἰ δὲ ἔστιν, ἤτοι ἀγένητον ἢ γενόμενον εἶναι. καὶ εἰ μὲν ἀγένητον, ἄπειρον αὐτὸ τοῖς τοῦ Μελίσσου ἀξιώμασι λαμβάνει· τὸ δ' ἄπειρον οὐκ ἂν εἶναί που. οὔτε γὰρ ἐν αὐτῷ οὔτ' ἂν ἐν ἄλλῳ εἶναι· δύο γὰρ ἂν οὕτως ἀπείρω εἶναι, τό τε ἐνὸν καὶ τὸ ἐν ᾧ· μηδαμοῦ δὲ ὂν οὐδὲν εἶναι κατὰ τὸν τοῦ Ζήνωνος λόγον περὶ τῆς χώρας. ἀγένητον μὲν οὖν διὰ ταῦτ' οὐκ εἶναι, οὐ μὴν οὐδὲ γενόμενον. γενέσθαι γοῦν οὐδὲν ἂν οὔτ' ἐξ ὄντος οὔτ' ἐκ μὴ ὄντος. εἰ γὰρ ⟨ἐξ ὄντος γένοιτο, μεταπεσεῖν ἄν, ὃ ἀδύνατον· εἰ γὰρ⟩ τὸ ὂν μεταπέσοι, οὐκ ἂν ἔτ' εἶναι αὐτὸ ὄν, ὥσπερ γ' εἰ καὶ τὸ μὴ ὂν γένοιτο, οὐκ ἂν ἔτι εἴη μὴ ὄν. οὐδὲ μὴν οὐκ ἐξ ὄντος ἂν γενέσθαι. εἰ μὲν γὰρ μὴ ἔστι τὸ μὴ ὄν, οὐδὲν ἂν ἐκ μηδενὸς ἂν γενέσθαι· εἰ δ' ἔστι τὸ μὴ ὄν, δι' ἅπερ οὐδ' ἐκ τοῦ ὄντος, διὰ ταῦτα οὐδ' ἐκ τοῦ μὴ ὄντος γενέσθαι. εἰ οὖν ἀνάγκη μέν, εἴπερ ἔστι τι, ἤτοι ἀγένητον ἢ γενόμενον εἶναι, ταῦτα δὲ ἀδύνατον, ⟨ἀδύνατόν⟩ τι καὶ εἶναι. Ἔτι εἴπερ ἔστι τι, ἢ ἓν ἢ πλείω, φησίν, ἐστίν· εἰ δὲ μήτε ἓν μήτε πολλά, οὐδὲν

ἅπαντα ἐστίν Lps., sed videtur librarius post *ὅτι* ponere *ἔστιν* voluisse, tum correxit et *πάντα* posuit, verum ita ut parte *τοῦ ε* relicta *ἅπαντα* esse videretur, *πάντα ἐστίν* ceteri ‖ *ἔστι* post *ὂν* Foss: *ἐστι* codd ‖ 1 *ἔστι* post *πάντα* Foss: *ἐστι* codd. ‖ *ἐστιν* Lps. ‖ 2 *ἤ*] *ἢ μὴ* R^a ‖ *γινόμενον* Lps. ‖ 4 *ἂν*] *ὂν* Lps. ‖ *που* Foss: *ποτε* codd. ‖ *αὐτῷ* Lps. ‖ 5 *ἀπείρω* Bonitz: *ἢ πλείω* codd. ‖ *τό τε ἑνόν* Lps.: *τοῦτο ἓν ὂν* R^a ‖ 6 *δὲ* om. Lps. ‖ *οὐδὲν* Lps.: *οὐδὲ* ceteri ‖ *τοῦ* add. Lps. ‖ 8 *γοῦν* Lps.: *τὸν* ceteri ‖ 9 *οὔτ' ἐκ*] *οὔ τι* Lps. ‖ *ἐξ ὄντος* — 10 *εἰ γὰρ* addidi, partim secutus Bonitzium. cf. Mus. rhen. l. l. p. 212 ‖ 11 *αὐτὸ ὄν* scripsi: *τὸ ὄν* codd., *ὄν* Bonitz ‖ 12 *μὴν*] *μὲν* R^a ‖ *οὐκ ἐξ* Bonitz: *οὐδ' ἐξ* codd. ‖ 13 *μὲν* in Lps. ita scriptum, ut prima littera etiam *κ* esse possit ‖ *ἔστι* Foss: *ἐστι* codd. ‖ *οὐδὲν* — 14 *τὸ μὴ ὄν* om. Lps. ‖ alterum *ἂν* del. Mullach, sed fort. scribendum *οὐδὲ τὸ ὂν ἐκ μηδενὸς ἂν γενέσθαι* ‖ 14 *διάπερ οὐδ' ἐκ τοῦ* [μὴ] *ὄντος* (sic) *γενέσθαι* Lps., omisit igitur *διὰ ταῦτα οὐδ' ἐκ τοῦ μὴ ὄντος* ‖ 16 *ἤτοι* Sylburg: *ἢ τὸ* codd. ‖ *ἢ γενόμενον εἶναι* Lps.: *εἶναι ἢ γενόμενον* cet. ‖ 17 *ἀδύνατον* add. Foss ‖ *ἔστι τι, ἢ ἓν ἢ πλείω* Foss: *ἐστιν ἓν* [ἢ] *πλείω* Lps., *ἔστιν, ἓν ἢ πλείω* cet. ‖ 18 *εἴτε* R^a ‖ *μήτε*

ἂν εἴη. καὶ ἓν μὲν ⟨οὐκ ἂν εἶ⟩ναι, ὅτι ἀσώματον ἂν εἴη τὸ ⟨ὡς ἀληθῶς⟩ ἕν, κ⟨αθὸ οὐδ⟩ὲν ἔχον μέγε⟨θος· ὃ ἀναιρεῖσθαι⟩ τῷ τοῦ Ζήνωνος λόγῳ. ἑνὸς δὲ ⟨μὴ⟩ ὄντος, οὐδ' ἂν ⟨ὅλως⟩ εἶναι οὐδέν. μὴ ⟨γὰρ ὄντος ἑνὸς⟩ μηδὲ πολλὰ ⟨εἶναι δεῖν⟩. εἰ δὲ μήτε ⟨ἕν, φησιν⟩, μήτε πολλά ἐστιν,
)ᵃ οὐδὲν ἔστιν. οὐδ' ἂν κινηθῆναί φησιν οὐδέν. εἰ γὰρ κινηθείη, [ἢ] οὐκ ἂν ἔτ' εἴη ὡσαύτως ἔχον, ἀλλὰ τὸ μὲν ⟨ὂν⟩ οὐκ ὂν εἴη, τὸ δ' οὐκ ὂν γεγονὸς εἴη. ἔτι δὲ εἰ κίνησιν κινεῖται, καθ' ἣν μεταφέρεται, οὐ συνεχὲς ὂν διῄρηται, ⟨ᾗ δὲ διῄρηται⟩ τὸ ὄν, οὐκ ἔστι ταύτῃ· ὥστ' εἰ πάντῃ κινεῖται, πάντῃ διῄρηται. εἰ δ' οὕτως, πάντῃ οὐκ ἔστιν. ἐκλιπὲς γὰρ ταύτῃ, φησίν, ᾗ διῄρηται, τοῦ ὄντος, ἀντὶ τοῦ κενοῦ τὸ διῃρῆσθαι λέγων, καθάπερ ἐν τοῖς Λευκίππου καλουμένοις λόγοις γέγραπται. Εἶναι οὖν οὐδέν, τὰς ἀποδείξεις

ἓν] μὴ ἓν R^a ‖ 1 καὶ ἓν — 6 οὐδὲν ἔστιν Sic verba mutila ad sententiae vim explenda et constituenda putavi, quam arctissime premens vestigia Lipsiensis, qui haec exhibet: καὶ ἓν μὲν . . . . καὶ ὅτι ἀσώματον ἂν εἴητο . . . . ἐν κ . . . . . . ἔσχον (vel ε ἔχον) μέν γε . . . . τῷ τοῦ Ζήνωνος λόγῳ. ἑνὸς δὲ ὄντος οὐδ' ἄν . . . . . . εἶναι. οὐδὲ μη . . . . μήτε πολλα . . . . . . εἰ δὲ μήτε . . . . μήτε πολλά ἐστιν, οὐδέν ἐστιν. Lacunas ita indicavi, ut singulis punctis singularum fere litterarum spatium significarem. Ceteri haec habent: καὶ ἓν μὲν . . . καὶ ὅτι ἀσώματον ἂν εἴη τὸ ἓν η ἐνσχουμέν γε τῷ τοῦ Ζήνωνος λόγου· ἑνὸς δὲ ὄντος, οὐδ' ἂν . . . εἶναι οὐδὲ μή . . . μήτε πολλά. εἰ γὰρ μήτε (ante μήτε lacunam R^a) ἓν μήτε πολλά ἐστιν. cf. Mus. rhen. l. l. p. 212 sq. Tractarunt locum etiam Foss et Kern, sed longum est eorum conamina adferre ‖ 6 οὐδ' αὖ? ante haec verba quaedam excidisse suspicatur Foss ‖ φησιν οὐδέν. εἰ Foss: φησιν. οὐδενὶ codd. ‖ 7 ἢ del. Foss. an τι? ‖ ἔτ' εἴη scripsi secutus Fossium (ἔτι εἴη): ἔτι ἢ codd. ‖ ὂν add. Foss ‖ 8 οὐκ ὂν Lps.: οὐκ ἂν ceteri ‖ εἰ κίνησιν — 9 καθ' ἣν scripsi Mus. rhen. l. l. p. 214 ἢ κινεῖ ἢ κινεῖται καὶ εἰ R^a et ceteri Bekk. codd., ἢ κινεῖται καὶ ἓν Lps. ‖ 9 οὐ] τὸ? ‖ ᾗ δὲ διῄρηται addidi ‖ 10 οὐκ ἔστι ταύτῃ Foss: οὔτέ τι ταύτῃ codd. ‖ ὥστ' εἰ Foss: ὥστε codd. ‖ 11 πάντῃ οὐκ Lps.: πάντα οὐκ ceteri ‖ ἐστὶν Lps. ‖ ἐκλειπὲς Lps. ‖ 12 ᾗ] ἢ Lps. ‖ 14 εἶναι — p. 192, 2 δεῖν γὰρ scripsi l. l. p. 215: εἰ μὲν οὖν οὐδέν, τὰς ἀποδείξεις λέγειν ἅπαντα. δεῖ γὰρ codd.,

⟨λέγει ταύτας· εἰ δ' ἔστιν, ὅτι ἄγνωστόν ἐστι, μετὰ ταῦτα τὰς ἀποδείξεις⟩ λέγει. ἅπαντα δεῖν γὰρ τὰ φρονούμενα εἶναι, καὶ τὸ μὴ ὄν, εἴπερ μὴ ἔστι, μηδὲ φρονεῖσθαι. εἰ δ' οὕτως, οὐδὲν ἂν εἴποι ψεῦδος οὐδείς, φησιν, οὐδ' εἰ ἐν τῷ πελάγει φαίη ἁμιλλᾶσθαι ἅρματα. πάντα γὰρ ἂν ταύτῃ εἴη. καὶ γὰρ τὰ ὁρώμενα καὶ ἀκουόμενα διὰ τοῦτο ἔσται, ὅτι φρονεῖται ἕκαστα αὐτῶν· εἰ δὲ μὴ διὰ τοῦτο, ἀλλ' ὥσπερ οὐδὲν μᾶλλον ἃ ὁρῶμεν ⟨ᾗ ὁρῶμεν⟩ ἔστιν, οὕτως ⟨οὐ⟩ μᾶλλον ἃ ὁρῶμεν ᾗ διανοούμεθα (καὶ γὰρ ὥσπερ ἐκεῖ πολλοὶ ἂν ταῦτα ἴδοιεν, καὶ ἐνταῦθα πολλοὶ ἂν ταῦτα διανοηθεῖεν), τί οὖν μᾶλλον δῆλον εἰ τοιάδ' ἐστί; ποῖα δὲ τἀληθῆ, ἄδηλον. ὥστε εἰ καὶ ἔστιν, ἡμῖν γε ἄγνωστ' ἂν εἶναι τὰ πράγματα.

Εἰ δὲ καὶ γνωστά, πῶς ἄν τις, φησί, δηλώσειεν ἄλλῳ; ὃ γὰρ εἶδε, πῶς ἄν τις, φησί, τοῦτο εἴποι λόγῳ; ἢ πῶς ἂν ἐκεῖνο δῆλον ἀκούσαντι γίγνοιτο, μὴ ἰδόντι; ὥσπερ γὰρ οὐδὲ ἡ ὄψις τοὺς φθόγγους γιγνώσκει, οὕτως οὐδὲ ἡ ἀκοὴ τὰ χρώματα ἀκούει, ἀλλὰ φθόγγους· καὶ λέγει ὁ λέγων, ἀλλ' οὐ χρῶμα οὐδὲ πρᾶγμα. ὃ οὖν τις μὴ ἐννοεῖ, πῶς ἂν αὐτὸ

nisi quod Lps. δεῖν pro δεῖ habet; εἰ μὲν οὖν οὐδέν, τὰς ἀποδείξεις λέγει ⟨εἶναι ἄγνωστα⟩ ἅπαντα. δεῖν γὰρ Foss ‖ 3 ἔστι Foss: ἐστι codd. ‖ μὴ δὲ Lps. ‖ 4 εἴποι scripsi: εἶναι codd. ‖ 5 πάντα an πάντῃ in Lps. dubium ‖ ἂν om. Lps. ‖ ταύτῃ scripsi: ταῦτὰ Lps., ταῦτα ceteri ‖ 6 ἔσται scripsi: ἐστιν codd. ‖ 8 ἃ add. Lps. ‖ ᾗ ὁρῶμεν addidi Mus. rhen. l. l. p. 216 ‖ ἔστιν codd. ‖ οὐ addidi ‖ 9 ᾗ scripsi: ἢ codd. ‖ 10 διανοηθεῖεν scripsi: διανοηθείημεν codd. ‖ τί Didotiana: τὸ codd. ‖ 11 δῆλον εἰ τοιάδε scripsi: δὴ . . . τοιάδ' Bekkeri codd., nisi quod R^a habet α τοιαδ'. Lips. nullam lacunam. ⟨τὰ⟩ δι⟨ανοητὰ⟩ τοιάδ' Didotiana. Sin forte maior est lacuna, quam in Bekk. edit. apparet, sic quoque explere licet: δῆ⟨λον εἰ τοιάδ' ἢ⟩ τοιάδ' ‖ 12 εἰ καὶ Lps.: καὶ εἰ ceteri ‖ ἐστὶν Lps. ‖ γε ἄγνωστ' Lps.: γνωστά ceteri ‖ 14 εἴποι in Lps. ita exaratum, ut etiam εἴπῃ esse possit ‖ 15 ἐκεῖνο Lps.: ἐκείνῳ ceteri ‖ γὰρ οὐδὲ] γὰρ οἶδεν R^a ‖ 16 ἡ] κ' Lps. ‖ φόγγους Lps. ‖ 18 πῶς ἂν αὐτὸ scripsi: πῶς αἰτεῖ codd., πῶς ἂν τοῦτο Preller Hist. phil. gr. et rom. § 187, πῶς αἰτεῖ τοῦτο Foss

παρ' ἄλλου λόγῳ ἢ σημείῳ τινί, ἑτέρῳ τοῦ πράγματος, ἐννοήσειεν, ἀλλ' ἢ ἐὰν μὲν χρῶμα, ἰδών, ἐὰν δὲ ⟨φθόγγος, ἀκροώ⟩μενος; ἀρχὴν γὰρ οὐ⟨δεὶς⟩ λέγει ⟨φθόγ⟩γον οὐδὲ χρῶμα, ἀλλὰ λόγον· ὥστ' οὐδὲ διανοεῖσθαι χρῶμα ἔστιν, ἀλλ' ὁρᾶν, οὐδὲ ψόφον, ἀλλ' ἀκούειν. εἰ δὲ καὶ ἐνδέχεται γιγνώσκειν τε καὶ ἀναγιγνώσκειν λόγον, ἀλλὰ πῶς ὁ ἀκούων τὸ αὐτὸ ἐννοήσει; οὐ γὰρ οἷόν τε τὸ αὐτὸ ἅμα ἐν πλείοσι καὶ χωρὶς οὖσιν εἶναι· δύο γὰρ ἂν εἴη τὸ ἕν. εἰ δὲ καὶ εἴη, φησίν, ἐν πλείοσι καὶ ταὐτόν, οὐδὲν κωλύει μὴ ὅμοιον φαίνεσθαι αὐτοῖς, μὴ πάντῃ ὁμοίοις ἐκείνοις οὖσιν καὶ ἐν τῷ αὐτῷ· εἰ ⟨γάρ⟩ τι ἦν τοιοῦτο, εἷς ἂν, ἀλλ' οὐ δύο εἶεν. φαίνεται δὲ οὐδ' αὐτὸς αὑτῷ ὅμοια αἰσθανόμενος ἐν τῷ αὐτῷ χρόνῳ, ἀλλ' ἕτερα τῇ ἀκοῇ καὶ τῇ ὄψει, καὶ νῦν τε καὶ πάλαι διαφόρως, ὥστε σχολῇ ἄλλῳ πᾶν ταὐτὸ αἴσθοιτό τις. οὕτως οὐκ ἔστιν, εἰ ἔστι τι, γνωστόν, ⟨εἰ δὲ γνωστόν,⟩ οὐδεὶς ἂν αὐτὸ ἑτέρῳ δηλώσειεν, διά τε τὸ μὴ εἶναι τὰ πράγματα λόγους, καὶ ὅτι οὐδεὶς [ἕτερον] ἑτέρῳ ταὐτὸν

1 ἑτέρῳ scripsi cf. Sext. Empir. 207, 15 sq. Bekk.: ἑτέρου codd. ‖ τοῦ add. Lps. ‖ 2 ἐὰν δὲ φθόγγος, ἀκροώμενος Foss: ἐὰν δὲ . . . . . υμος codd. ‖ 3 οὐδεὶς — 4 λόγον scripsi: οὐ . . . λέγε . . . γοει δὲ χρῶμα ἀλλὰ λόγον (λόγου Rᵃ) Bekkeri codd., οὐ λέγει δὲ χρῶμα, ἀλλὰ λόγον Lps. ‖ 5 ἀλλ' ἀκούειν] οὐδ' ἀκούειν Lps. ‖ ἐνδέχεται — 6 λόγον scripsi: ἐνδέχεται, γινώσκει τε καὶ ἀναγινώσκει λέγων codd. Pro λέγων iam Preller suspicatus erat λόγον ‖ 7 ταὐτό ante ἅμα Lps.: τὸ αὐτὸ ceteri ‖ 8 ἂν om. Lps. ‖ 10 dubium ὁμοίοις ἐκείνοις an ὁμοίως ἐκείνως voluerit Lps. ‖ 11 εἴ γὰρ — ἂν scripsi Mus. rhen. l. l. p. 218: εἴ τι ἓν τοιούτου εἴησαν Lps., εἴ τι ἐν τοιούτου εἴησαν ceteri, ἔτι δ' εἰ τοιοῦτοι εἶεν, ἓν ἂν Preller, ἔτι ἓν ἂν τοιοῦτοι, εἰ ἦσαν Foss ‖ 12 αὐτὸς] ὁ αὐτὸς Foss ‖ αὑτῷ] αὐτῷ Lps. ‖ 14 σχολῇ ἄλλῳ Sylburg: σχολή. ἄλλω Lps., σχολὴν ἄλλῳ ceteri ‖ 15 οὕτως — 16 οὐδεὶς scripsi: οὕτως οὐκ ἔστιν ἔνεστι γνωστόν, οὐδεὶς Lps., οὕτως οὐκ ἔστιν, ἓν ἐστιν γνωστόν οὐδεὶς ceteri, οὕτως οὐκ ἔστι γνωστόν, εἰ δ' ἐστὶν, οὐδείς Foss, οὕτως οὐκ ἔστι οὐδὲν γνωστόν, εἰ δ' ἔστιν, οὐδείς Preller ‖ 17 λόγους Lps.: λεκτά ceteri ‖ ἕτερον del. Foss

ἐννοεῖ. ἅπαντες δὲ καὶ οὗτος ἑτέρων ἀρχαιοτέρων εἰσὶν ἀπορίαι, ὥστε ἐν τῇ περὶ ἐκείνων σκέψει καὶ ταῦτα ἐξεταστέον.

1 *ἅπαντες* — 2 *ἀπορίαι* codd., nisi quod *R*a *οὕτως* pro *οὗτος* praebet. *ἀπαντᾶν δεῖ* (vel *ἀπαντητέον δὲ*) *καὶ τούτοις καὶ ἑτέρων ἀρχαιοτέρων τισὶν ἀπορίαις* proposui l. l. p. 218, *ἅπαντα δὲ καὶ ταῦτα καὶ ἑτέρων ἀρχαιοτέρων εἰσὶν ἀπορίαι* Foss, *ἅπασαι δὲ αὗται καὶ ἑτέρων ἀρχαιοτέρων εἰσὶν ἀπορίαι* Mullach ‖ 3 in mrg. duorum Bekkeri codd. haec: *τὸ πρωτότυπον λίαν ἐσφαλμένον, καὶ μή τις μοι μεμφέτω· καθὼς γὰρ ὁρῶ, οὕτω γράφω.*

INDEX.

αν	i. e.	*ἀνέμων θέσεις καὶ προσηγορίαι*
ατ		*περὶ ἀτόμων γραμμῶν*
θ		*περὶ θαυμασίων ἀκουσμάτων*
μ		*Μηχανικά*
ξ		*περὶ Μελίσσου Ξενοφάνους Γοργίου*
φ		*περὶ φυτῶν*

ADDENDA ET CORRIGENDA.

p. 76, 12 adde adn. 'Οὐράνιον] Γώνιον Movers Phoenizier 2, 2, 575.'
p. 102, 4 adde adn. 'ἠνέχθη scripsi: ἐνηνέχθη codd.'
p. 146, 4 ἐγκλίναι cum *N*ᵃ pro ἐκκλίνειν dare debebam.
p. 165, 1 adn. In Lps. titulus est Ἀριστοτέλους περὶ Ζήνωνος, non ut in *R*ᵃ περὶ Ζήνωνος.
p. 167, 11 οἵ scripsi pro eo quod in Fleckeis. annal. 1886 p. 743 proposueram ὡς.
p. 172, 11 adde ad adn. 'καὶ om. Lps.'
p. 172, 13 adde adn. 'ὁ Ἀναξιμένης] Ἀναξιμένης Lps.'
p. 173, 6 adde adn. 'γενήσεως Lps.'
p. 178, 13 sqq. adde ad adn. αὐτῷ μέρη] 'ἄτομα μέρη proposueram l. l. p. 765.'
p. 179, 19 sqq. Susemihl (per litteras) haec sic ordinanda censet: πλεόνων . . . θεούς (πεφυκέναι γὰρ . . . κρατεῖσθαι), ἴσων κράτιστον (τὸ γὰρ ἴσον . . . ἴσον)· ὥστ' εἴπερ κ. τ. λ.
